λυκόστρατος· «ὁ μόναρχος παρ' Ἱπποχάρμῳ» Ἡσύχ.

Λυκούργεια, ἡ, ἡ τριλογία (τοῦ Αἰσχύλ.) ἐπὶ τοῦ Λυκούργου βασιλέως τῆς Θρᾴκης, Ἀριστοφ. Θεσμ. 135, ἔνθα κοινῶς **λυκουργία**· πρβλ. **Ὀρέστεια**.

λῠκ-όφθαλμος, ὁ, λύκου ὀφθαλμός, πολύτιμός τις λίθος, Πλίν. 37. 72.

λῠκο-φῐλία, ἡ, φιλία λύκου, δηλ. ψευδὴς φιλία, Ἐπιστ. Πλάτ. 318E, Μ. Ἀντ. 11. 15, Εὐσ. Ἐκκλ. Ἱστ. 6. 43.

λῠκο-φίλιος, ον, ὅμοιος τῇ φιλίᾳ λύκου, δόλιος, ὕπουλος, διαλλαγαὶ Μένανδρος ἐν Ἀδήλ. 203. Ἐπίρρ. **-ίως**, δολίως, ὑπούλως, Αἴλιος Διονύσ. παρ' Εὐστ. 809. 42.

λῠκο-φόρος, ον, φέρων ὡς ἔγκαυμα σημεῖον λύκου, πρβλ. **λυκοσπὰς** Π.

λυκ-όφρυς, υος, ἡ, ὄνομα τοῦ φυτοῦ **ἀρτεμισία**, Διοσκ. ἐν Νόθ. 3. 127.

λυκ-όφρων, ονος, ὁ, ἡ, «δεινόφρων, ὑψηλόφρων» Ἡσύχ.· οἱ ποιηταὶ τοὺς κράτιστα τοῖς πολεμίοις μαχομένους λυκόφρονας καὶ θυμολέοντας προσαγορεύουσι Πλούτ. 2. 988D· παρ' Ὁμ. μόνον ὡς κύριον ὄνομα.— Ἐπίρρ. **λυκοφρόνως**, Εὐστ. Θεσσαλ. σ. 508, ἔκδ. Μι. τ. 136.

λυκόφων, ὁ, ἀμφίβολον ὄνομα φυτοῦ, Πλουτ. Λυκοῦργ. 16., 2. 237B· — ἐν ἀμφοτέροις τοῖς χωρίοις κατ' αἰτ. πληθ., ἥτις φέρεται ἐν Ἀντιγράφοις, **λυκοφόνας**, **λυκοφώνας**: — Πιθ. διορθωτέον **λυκοφάνους**· διότι ὁ Ἡσύχ. μνημονεύει **λυκόφανος** ὄνομα τοῦ φυτοῦ **ἐχινόπους**.

λῠκόφως, ωτος, τό, σκιόφως τό τε πρὸ τῆς ἀνατολῆς καὶ τὸ μετὰ τὴν δύσιν τοῦ ἡλίου, ὡς τὸ ἀμφιλύκη νύξ, Λατ. diluculum, ἰδὲ κατωτ. (Κοινῶς ἐτυμολογεῖται ἐκ τῆς ῥιζικῆς λέξεως **λύκη** (ὃ ἴδε), πρβλ. **λύγη**, **σκιόφως**· κατ' ἄλλους ἐκ τοῦ **λύκος**, = λύκου φῶς, ὥρα καθ' ἣν ὁ λύκος ἐξέρχεται ζητῶν λείαν, Αἰλ. π. Ζ. 10. 26, Σχόλ. εἰς Ἰλ. Η. 433).

λῠκό-χροος, ον, συνηρ. **-χρους, ουν**, ἔχων τὸ χρῶμα τοῦ λύκου, βαφὴ Εὐστ. 689. 20.

λῠκ-οψία, ἡ (ὄψις) = **λυκόφως**, Λυκόφρ. 1432.

λύκοψις, ἡ, καὶ **λύκοψος**, ἡ, = **λύκαψος**, ὃ ἴδε.

λῠκόω, (λύκος) κατασπαράττω ὡς λύκος· — Παθ., κατασπαράττομαι ὑπὸ λύκων, πρόβατα λελυκωμένα Ξενοφ. Κύρ. 8. 3, 41· μεταβάλλομαι εἰς λύκον, Θ. Στουδ. σ. 780, ἔκδ. Μι.

λῠκώδης, ες, = **λυκοειδής**, Ἀριστ. περὶ τὰ Ζ. Ἱστ. 6. 32. 1.

λῦμα, τό, (ἴδε ἐν λ. **λούω**)· — τὸ πλεῖστον ἐν τῷ πληθ., τὸ ὕδωρ τὸ χρησιμεῦον εἰς νίψιμον ἢ πλύσιν, ἢ ὁ ῥύπος ὁ ἀποπλυθείς, τὰ «ξεπλύματα», ἀκαθαρσίαι Λατ. purgamenta, οἱ δ' ἀπελυμαίνοντο καὶ εἰς ἅλα λύματ' ἔβαλλον Ἰλ. Α. 314· ἀμβροσίῃ μὲν πρῶτον ἀπὸ χροὸς .. λύματα πάντα κάθηρεν Ξ. 171, πρβλ. Ἱππ. 272. 30· λύμαθ' ἁγνίσας ἐμά, ἐπὶ τοῦ ἐπὶ τῶν χειρῶν αὐτοῦ αἵματος, Σοφ. Αἴ. 655· λύματα τόκου = τὰ λόχια, Καλλ. εἰς Δία 17· γῆς ὁ αὐτ. εἰς Ἀπόλλ. 109· δόμων Ἀπολλ. Ῥόδ. Δ. 710· οὗτοι (δηλ. οἱ Ῥωμαῖοι) προὐνόησαν μάλιστα ὧν ὠλιγώρησαν ἐκεῖνοι (δηλ. οἱ Ἕλληνες) στρώσεως ὁδῶν καὶ ὑδάτων εἰσαγωγῆς καὶ ὑπονόμων τῶν δυναμένων ἐκκλύζειν τὰ **λύματα** τῆς πόλεως εἰς τὸν Τίβεριν Στράβ. 235· ἐπὶ κόπρου, Καλλ. Ἀποσπ. 216, πρβλ. εἰς Δήμ. 116. **II.** ἠθικὸς ῥύπος, μάλιστα ἐν τῷ ἑνικῷ, λῦμα τῷ γήρᾳ τρέφειν Σοφ. Ο. Κ. 805. **III.** = **λύμη**, ὄλεθρος, Αἰσχύλ. Πρ. 692· ἐν τῷ ἑνικῷ ἐπὶ προσώπου, σύ τοι, λῦμ' Ἀχαιῶν, δηλ. ὁ Ἕκτωρ, Εὐρ. Τρῳ. 588.

λῦμα, τό, (λύω), = **ἐνέχυρον**, Σουίδ.

λῡμαίνομαι, (λῦμα) καθαρίζω ἀπὸ ῥύπου, ἴδε **ἀπολυμαίνομαι**.

λῡμαίνομαι, ἀποθ.· ἐν μέρει μὲν ἐν τοῖς τύποις τοῦ μέσου, μέλλ. **λυμανοῦμαι** Ἰσοκρ. 231A, Δημ., κτλ.· ἀόρ. **ἐλυμηνάμην** Ἡρόδ. 8. 28, Εὐρ. Ἀνδρ. 719, Ἰσοκρ. κτλ. — ἐν μέρει δὲ ἐν τοῖς τοῦ παθ., ἀόρ. μετοχ. **λυμανθὲν** Αἰσχύλ. Χο. 294· πρκμ. **λελύμασμαι**, γ' ἑνικ. **λελύμανται** Δημ. 120. 20., 570. 20· μετοχ. **-ασμένος** Ξεν. Ἑλλ. 7. 5, 18, Δημ. 1109· 28· — πρβλ. **ἀπο-**, **δια-λυμαίνομαι**· — τινὲς τῶν τύπων τούτων κεῖνται καὶ ἐπὶ παθ. σημασίας, ἴδε κατωτ. Π· (λύμη). Κακομεταχειρίζομαι, κακοποιῶ, μάλιστα σωματικῶς διὰ μαστιγώσεως, δεσμῶν κ.τ.τ. (πρβλ. Δημ. 630. 26), ἀλλ' ὡσαύτως καὶ ἐπὶ ἠθικῆς ἐννοίας· — Σύνταξις, **1)** μεταχειρίζομαι ἀπρεπῶς, κακομεταχειρίζομαι, κακοποιῶ, βλάπτω, Λατ. pessumdare, ὅτε τὸν ξεῖνον .. δήσας λυμαίνοιτο Ἡρόδ. 5. 33· τὴν ἵππον ἐλυμήναντο ἀνηκέστως ὁ αὐτ. ἐν 8. 28· ὀργῇ χάριν δούς, ἥ σ' ἀεὶ λυμαίνεται Σοφ. Ο. Κ. 855· λ. τὰ λέχη, ἀτιμάζω .., Εὐρ. Βάκχ. 354, Ἀριστοφ. Ὄρν. 100· μετὰ συστοιχ. αἰτ., λύμης, ἥν μ' ἐλυμήνω πάρος Εὐρ. Ἠλ. 1099· ἐν τῷ Ἀττ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πεζῷ λόγῳ, ωσαύτως, λυμαίνομαι νόμους Λυσ. 185. 40, πρβλ. Δημ. 329. 18, Ἰσαῖ. 58. 11· τὰς ῥήσεις ἃς ἐλυμαίνου (δηλ. ὡς ὑποκριτὴς ἐν τῷ θεάτρῳ) Δημ. 315. 22·— ἐπὶ πραγμάτων, βλάπτω, ἀφανίζω, καταστρέφω, διαστρέφω, νόσος λ. τὸ σῶμα Ἱππ. 307. 38· ὀψοποιία λ. τὰ ὄψα Ξεν. Ἀπομν. 3. 14, 5· θλίβει καὶ λ. τὸ μακάριον Ἀριστ. Ἠθ. Ν. 1. 10, 12· ἐάν τις λυμαίνηται τοῦ ἀραχνίου, ἐάν τις βλάψῃ μέρος τοῦ ἀραχνίου, ὁ αὐτ. π. τὰ Ζ. Ἱστ. 9. 39, 5. **2)** μετὰ δοτ., ἀτιμάζω, ἐπιφέρω βλάβην, λυμαίνεσθαι τῷ νεκρῷ Ἡρόδ. 1. 214., 9. 79, πρβλ. Wess. εἰς 8. 15· μειρακίοις Ἀριστοφ. Νεφ. 928· ἡ ὕβρις τοῖς ὅλοις πράγμασι λ. Ἰσοκρ. 397Β· ἡ κακία λ. τοῖς ὅλοις Δημ. 326 ἐν τέλ.· λ. τῇ καταστάσει Ξεν. Ἑλλ. 2. 3, 26· τῇ ἑαυτοῦ δόξῃ αὐτόθι 7. 5, 18· ὡσαύτως, λ. τινι, ἐπὶ ἰατροῦ, ἐπιφέρω βλάβην ἕνεκα πλημμελοῦς θεραπείας, Ἱππ. π. Ἀρχ. Ἰητρ. 11. — Ἡ μετὰ δοτ. σύνταξις θεωρεῖται ὡς αὐστηρῶς Ἀττική, Σχόλ. εἰς Ἀριστοφ. Νεφ. 925· ἀλλ' ὁ Ξεν. σχεδὸν ἀείποτε μεταχειρίζεται τὴν μετ' αἰτ., ἥτις εἶναι συχνὴ καὶ παρὰ τοῖς Ῥήτορσιν· ὁ Πλάτων οὐδόλως μεταχειρίζεται τὴν λέξιν. **3)** ἀπολ., προξενῶ ὄλεθρον, καταστροφήν, ὅσα μετ' ἐλπίδων λυμαίνεται Θουκ. 5. 103, πρβλ. Ξεν. Ἀπομν. 1. 3, 6· πάντα τὰ λυμαινόμενά γ' ἔστιν ἔνδοθεν Μένανδ. ἐν Ἀδήλ. 12. 3. **4)** μετὰ δοτ. τρόπου, λύμῃσιν ἀνηκέστοισι λυμαίνομαί [τινα], μεταχειρίζομαι μὲ τὸν χείριστον τρόπον, Ἡρόδ. 6. 12· γλῶτταν ἡδοναῖς λ., μολύνω αὐτήν, Ἀριστοφ. Ἱππ. 1284. **5)** μετ' οὐδετ. ἐπιθ., τἆλλα πάντα λυμαίνεσθαι, ἐπιφέρειν πᾶσαν δυνατὴν βλάβην, ἀτιμίαν, Ἡρόδ. 3. 16· αὐτῷ τάδ' ἄλλα Βάκχιος λ. Εὐρ. Βάκχ. 632· τοιαῦτα .. λ. τὸν Τηρέα Ἀριστοφ. Ὄρν. 100. **II.** τὸ ἐνεργ. **λυμαίνω** φαίνεται ὅτι δὲν ἀπαντᾷ πρὸ τοῦ Ἑρμᾶ καὶ τοῦ Λιβανίου 4. 350 (τὰ δὲ παρὰ Ξενοφῶντι καὶ Ἀριστ. παραδείγματα διωρθώθησαν ἤδη ἐξ ἀντιγράφων· ἀλλὰ τὸ **λυμαίνομαι** κεῖται ἐνίοτε ὡς παθ., δεδεμένος καὶ λυμαινόμενος Ἀντιφῶν 136. 43· ἃ οὔτε κατασήπεται οὔτε λυμαίνεται Ξεν. Κύρ. 8. 2, 22· ὑπὸ τοιούτων ἀνδρῶν λυμαίνεσθε Λυσ. 180. 44· λυμανθὲν δέμας Αἰσχύλ. Χο. 290· λελυμάνθαι Δημ. 500. 21· λελυμασμένος Παυσ. 7. 5, 4., 10. 15, 4· ἐλελύμαντο Δίων Κ. 39. 11· πρβλ. **διαλυμαίνομαι** II.— Ἴδε Κόντ. Γλωσσ. Παρατηρ. σ. 448, 476.

λῡμαντήρ, ῆρος, ὁ, ὁ λυμαινόμενός τι, ὁ καταστρέφων τι, καταστροφεύς, ὅτι λυμαντῆρας αὐτοὺς (τοὺς μοιχοὺς δηλ.) νομίζουσι τῆς τῶν γυναικῶν φιλίας πρὸς τοὺς ἄνδρας Ξεν. Ἱέρ. 3. 3.

λῡμαντήριος, α, ον, βλαπτικός, καταστρεπτικός, δεσμὰ λυμαντήρια Αἰσχύλ. Πρ. 991· μετὰ γεν., καταστρέφων, ἀφανίζων, γυναικὸς τῆσδε λυμαντήριος ὁ αὐτ. ἐν Ἀγ. 1438· τῶνδε οἴκων ὁ αὐτ. ἐν Χο. 764·— οὕτω **λῡμαντής, οῦ,** ὁ, γάμος λ. βίου Σοφ. Τρ. 793, — καὶ **λῡμαντικός, ή, όν,** Ἐπικτ. Ἀποσπ. 20 μετὰ γεν., Ἀρρ. Ἐπίκτ. 3· 7, 20.

λῡμάντωρ, ὁ, = **λυμαντήρ,** Τίμων παρὰ Σέξτ. Ἐμπ. πρὸς Μ. 11. 171.

λύμαξ, = **πέτρα,** Ἡσύχ.·— ἀμφίβ.

λῦμαρ, τό, ποιητικὸν ἀντὶ **λῦμα, λύμη,** Μάξιμ. π. καταρχ. 238.

λύμᾰσις, ἡ, = **λύμη,** ἀμφίβ. γραφ. ἐν Αἰσχύλ. Ἱκ. 877, ἀλλ' ὁ Δινδ. ἐδέξατο τὴν γραφ. λύμας εἷς, ὁ δὲ Enger: λύμας, ᾇ σὺ ..

λῡμάχη, ἡ, = **λύμη,** Ἡσύχ.

λῡμεών, ῶνος, ὁ, (λύμη) καταστροφεύς, διαφθορεύς, ὁ λ. ἐμὸς Σοφ. Α'. 573· λ. γυναικῶν Εὐρ. Ἱππ. 1068· σωτῆρες ἀλλὰ μὴ λυμεῶνες τῶν Ἑλλήνων Ἰσοκρ. 187Β, πρβλ. 56Ε· ἔπαυσ' ὁδουροὺς λυμεῶνας, ἐπὶ τῶν ἐν ὁδῷ κακουργούντων, δηλ. τῶν λῃστῶν, Εὐρ. Ἀποσπ. 262· φόβος τῶν ἡδέων λυμεών Ξεν. Ἱέρ. 6, 6.

λυμεωνεύομαι, ἀποθ., = **λυμαίνομαι,** διάφ. γραφ. ἐν Πολυβ. 5. 5, 8.

λύμη [ῡ], ἡ, (ἴδε ἐν τέλ.) κακή, ὑβριστικὴ μεταχείρισις, κακοποίησις, φθορά, ὄλεθρος, βλάβη, ἰδίως δι' ἀκρωτηριασμοῦ, ἐπὶ λύμῃ, ἐπὶ ὕβρει, Ἡρόδ. 2. 121, 4· δόμων ἐπὶ λύμῃ Αἰσχύλ. Θήβ. 879· ὑπ' ἄφρονι λύμᾳ ὁ αὐτ. ἐν Εὐμ. 377· ἄνδρα οὕτω αἰσχρῶς λύμῃ διακείμενον Ἡρόδ. 2. 162· ὧν διαφθειρομένων οὐκ ἂν γένοιτο μεγάλη λ. τῇ πόλει Πλάτ. Νόμ. 919C· λ. καρπῶν καὶ προβάτων Ξεν. Οἰκ. 5, 6· χωρὶς τῆς ἄλλης λύμης, ἐκτὸς τῆς ἄλλης βλάβης, Ἱππ. περὶ Ἀγμ. 752· — συχνὸν ἐν τῷ πληθ., βλάβαι, ὕβρεις, ἀτιμώσεις, λύμῃσι λυμαίνεσθαι Ἡρόδ. 6. 12· χερσὶ καὶ λύμαισι καὶ πᾶσιν κακοῖς Σοφ. Ἠλ. 1195, πρβλ. 1196· λύμαις ἐχθίσταις φθείρειν Ἀριστοφ. Ὄρν. 1068· ταῖσδ' ἀδαμαντοδέτοισι λύμαις Αἰσχύλ. Πρ. 148, πρβλ. 426. **II.** = **λῦμα,** ῥύπος, ἀκαθαρσία, Πολύβ. 5. 59, 11. (Οἱ τύποι λύμη καὶ λῦμα, φαίνεται ὅτι ἐν ἀρχῇ ἦσαν συνώνυμοι, ἀλλ' ἡ χρῆσις ὥρισεν εἰς ἑκάτερον ἰδιαίτερον κλάδον τῆς κοινῆς των σημασίας.)

λύμην, ἴδε ἐν λέξ. **λύω.**

λυμνός· «γυμνὸς» Ἡσύχ.

λῡμήτης, ου, ὁ, ποιητ. ἀντὶ **λυμαντήρ,** Χρ. Σιβ. 3. 470.

λυπᾶ (= **λοιπᾶ**) Ἐπιγραφ. Βοιωτίας, Rang. Ant. Hell. 705. Θεσπιέων, Ἀθην. τ. Ζ', σ. 286, 287. — Αἰγύπτου CIG', 4716c.

λῡπ-αλγής, ές, ὁ ἐκ λύπης αἰσθανόμενος ἄλγος, τεθλιμμένος, Παύλ. Σ. Ἔκφρ. 474.

λύπεια· «λιπαρὰ» Ἡσύχ. Ἴσως διορθωτ. **λυπηρά.**

λῡπέω, (λύπη) προξενῶ λύπην, θλῖψιν, ἐνόχλησιν, εἴτε εἰς τὸ σῶμα, εἴτε εἰς τὴν ψυχήν, θλίβω, ἐνοχλῶ, τινα Ἡσ. Ἔργ. κ. Ἡμ. 399, Ἡρόδ. 8. 144, Τραγ., κτλ. ἀντίθετ. τῷ **εὐφραίνειν,** Εὐρ. Ἄλκ. 238· λέγεις, ἔφη, ἁρμόττειν οὐ τοὺς ἀκριβεῖς (θώρακας), ἀλλὰ τοὺς μὴ λυποῦντας ἐν τῇ χρείᾳ, ἀλλὰ τοὺς μὴ ἐνοχλοῦντας ἐν τῇ χρήσει, Ξεν. Ἀπομν. 3. 10, 15·— μετ' οὐδ. ἐπιθ., λυπεῖν μηδὲν αὐτὸν Εὐρ. Κύκλ. 338, πρβλ. Ἡρόδ. 8. 144, Ξεν. Κύρ. 3. 3. 50· ταὐτὰ ταῦτα λυποῦντες, ἃ ἐγὼ ὑμᾶς ἐλύπουν Πλάτ. Ἀπολ. 41Ε — μετὰ μετοχ., ἐλύπει αὐτὸν ἡ χώρα πορθουμένη Ξεν. Ἀν. 7. 7, 12· οὐ σκοπεῖς ὅ τι μὴ λυπήσεις τοὺς ἄλλους ποιῶν Δημ. 559. 5·— ἑπομένης ἐξηρτημένης προτάσεως, καί μ' ἦμαρ .. λυπεῖ, τί πράσσει Σοφ. Ο. Τ. 74, πρβλ. Ἠλ. 59· οὐδὲν ἐλύπησεν [αὐτό], ὥστε μή ..., = ἔβλαψεν, Πλάτ. Κρατ. 393Ε, κτλ. **2)** ἀπολ., προξενῶ πόνον ἢ λύπην, ἄγαν γε λυπεῖ Σοφ. Αἴ. 589, Ἀντ. 573, πρβλ. Ο. Τ. 1231· ἅπαν τὸ λυποῦν ἐστιν ἀνθρώπῳ νόσος ὀνόματ' ἔχουσα πολλὰ Ἀντιφάν. ἐν «Ἰατρῷ» 1, Μένανδ. ἐν «Πλοκίῳ» 9. **3)** παρ' ἱστορικοῖς συγγραφεῦσιν, ἐπὶ ἱππικοῦ καὶ τῶν ψιλῶν στρατιωτῶν, ἐνοχλῶ, ταράττω, βλάπτω στράτευμά τι διὰ συνεχῶν ἐπιθέσεων, Ἡρόδ. 9. 40, πρβλ. 61, Θουκ. 6. 66, Ξεν., κτλ.· λῃσταὶ .. τὴν Λακωνικὴν ἧσσον ἐλύπουν Θουκ. 4. 53, πρβλ. Ἀριστοφ. Ὄρν. 1427. **II.** Παθ. μετὰ μέσ. μέλλ., (Εὐρ. Μήδ. 474, κτλ.)— ἔχω πόνον, λύπην, θλῖψιν, εἶμαι τεθλιμμένος, λυπεῖσθαι φρένα Θέογν. 593· γνώμῃ Θουκ. 2. 64· ἀντιθ. τῷ **χαίρειν,** ᾧ μήτε χαίρειν μήτε λυπεῖσθαι πάρα Αἰσχύλ. Ἀποσπ. 257, πρβλ. Σοφ. Αἴ. 555, κτλ.· μὴ λυπέεο, μὴ λυποῦ, Ἡρόδ. 8. 100· ὑπὸ θεραπαίνης ἐπίτηδες λ. Λυσ. 92. 37 — μετὰ συστοίχ. αἰτ., τὰς ἐσχάτας λ. λύπας Πλάτ. Γοργ. 491Α, πρβλ. Φαίδωνα 85Α· ὡσαύτως, διπλῇ τινι λύπῃ λ. ὁ αὐτ. ἐν Φιλήβ. 36Α·— ὡσαύτως μετ' αἰτ. πράγμ., διά τι πρᾶγμα λυποῦμαι, Σοφ. Αἴ. 1086· πρός τι Θουκ. 2. 64, Πλάτ. Πολ. 585Α· διά τι Πλάτ. Φίληβ. 52Β· ἐπί τινι Ξεν. Ἀπομν. 3. 9, 8· περί τινος Πλάτ. Πρωτ. 354Ο· μετὰ μετοχ., λυπεῖ .. ἐστερημένη Εὐρ. Μήδ. 286· ἐλυπεῖτο ὁρῶν Δημ. 301. 3·— ἀπολ., αἰσθάνομαι πόνον, θλῖψιν, Εὐρ. Ἴων 632, κτλ.· τὸ λυπούμενον, = ἡ λύπη, Πλάτ. Νόμ. 689Α.

λύπη [ῡ], ἡ, πόνος σωματικός, Λατ. dolor, ἀντίθετ. τῷ **ἡδονή,** Πλάτ. Φίληβ. 31C, κτλ.· ὡσαύτως κακὴ κατάστασις, δυστυχία, Ἡρόδ. 7. 152. **2)** πόνος τῆς ψυχῆς, Ἡρόδ. 7. 16, καὶ Ἀττ.· δῆγμα δὲ λύπης οὐδὲν ἐφ' ἧπαρ προσικνεῖται Αἰσχύλ. Ἀγ. 791· τί γὰρ καλὸν ζῆν βίοτον, ὃς λύπας φέρει; ὁ αὐτ. ἐν Ἀποσπ. 174, πρβλ. Σοφ. Ο. Κ. 1216, κτλ.· ἐρωτικὴ λ. Θουκ. 6. 58· λύπας ἐμβάλλειν Ἀντιφῶν 116. 29· λ. φέρειν τινὶ Ἀνδοκ. 20. 35· ἀντίθετ. τῷ **χαρά,** Ξεν. Ἑλλ. 7. 1, 32. (Πρὸς τὴν √ΛΥΠ, πρβλ. Σανσκρ. lup, lump-âmi (rumpo, perdo), lup-yâmi (confundo)· ἴσως καὶ Λατ. rump-o, Ἀρχ. Σκανδιν. rŷf (rumpo), Λιθ. rup-eti (vexare)).

λύπημα, τό, πόνος, θλῖψις, λύπη, Δίων Κ. 55. 17· περὶ τοῦ ἐν Σοφ. Τρ. 554 λυτήριον λύπημα ἴδε **λυτήριος.**

λῡπηρός, ά, όν, (**λυπέω,** πρβλ. **λυπρός**)· **I.** ἐπὶ πραγμάτων, ἀλγεινός, λυπηρός, θλιβερός, Λατ. molestus, Ἡρόδ. 5. 106, Σοφ. Ἠλ. 553, Εὐρ., κτλ.· τί σοι τοῦτ' ἐστὶ λυπηρὸν κλύειν Σοφ. Ο. Κ. 1176· τὰν δόμοισι λυπηρὰ Εὐρ. Ἴων 623, κτλ.· ἀζημίους μέν, λυπηρὰς δὲ ἀλγηδόνας Θουκ. 2. 37· τὰ λ. Ξεν. Ἱέρ. 1, 8. **II.** ἐπὶ προσώπων, **1)** ἐπὶ καλῆς σημασίας, προξενῶν λύπην, λυπηρὸς ἡμῖν τούσδ' ἂν ἐκλίποι δόμους Εὐρ. Ἱππ. 796. **2)** ἐπὶ κακῆς σημασίας, προξενῶν ἐνόχλησιν, ἐνοχλητικός, λ. κλύειν Σοφ. Ἠλ. 557· λ. οὐκ ἦν ἀλλ' ἐπίφθονος πόλει Εὐρ. Ἱκέτ. 893· πρβλ. Ἀριστοφ. Ἀχ. 456, Θουκ. 1. 76, κτλ.· ἐν Θουκ. 6. 16, ἐπὶ ζηλοτυπουμένων καὶ φθονουμένων, πρβλ. 2. 64. **III.** Ἐπίρρ. **λυπηρῶς,** θλιβερῶς, οὕτως ὥστε νὰ προξενῇ τι πόνον, ἐνόχλησιν, λύπην, Σοφ. Φ. 912· λυπηρῶς δ' ἔχει εἰ .. ὁ αὐτ. ἐν Ἠλ. 767, πρβλ. Εὐρ. Βάκχ. 1264. **2)** μετὰ πόνου, οὕτως ὥστε νὰ αἰσθάνηταί τις ἢ νὰ δεικνύῃ πόνον, λ. φέρειν τι Ἰσοκρ. 199D, πρβλ. Ἀριστ. Ἠθ. Ν. 3. 1, 11, κ.ἀλλ.

λῡπησί-λογος, ον, προξενῶν λύπην διὰ τῶν λόγων αὐτοῦ, Κρατίν. ἐν Ἀδήλ. 42.

λῡπητέον, ῥηματικ. ἐπίθ. τοῦ **λυποῦμαι,** δεῖ λυπεῖσθαι, Ξεν. Ἀπολ. 27.

λῡπητήριος, α, ον, = τῷ ἐπομ., Ἰω. Χρυσ. τ. 5, σ. 368, 36.

λῡπητικός, ή, όν, ὁ αἰσθανόμενος πόνον, λύπην, ἐπί τινι Ἀριστ. π. Μνήμ. 1. 28, 1. **II.** λυπηρός, θλιβερός, προξενῶν λύπην, τὸ λυπ., = λύπη, Πλούτ. 2. 657Α.

λυπικός, ή, όν, = **λυπηρός** Δαμασκ. III, 688Α.

λυπινάριον, τό, κοινῶς λουπινάρι, θέρμος, Σουΐδ. ἐν λ.

λυπρό-βιος, ον, ὁ βιῶν ἀθλίως, Στράβ. 318.

λυπρό-γεως, ων, ἔχων γῆν λυπράν, ἄγονον, Ἀππ. Ἰβηρ. 59 (Σουΐδ. -γαιος), Φίλων 2. 294· ἴδε τὸ ἐπόμ.

λυπρός, ά, όν, (**λυπέω,** πρβλ. **λυπηρός**) ἐλεεινός, ἄθλιος,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πτωχός, κυρίως ἐπὶ γῆς, ἄκαρπος, ἄγονος, ἄφορος, γαῖα Ὀδ. Ν. 243, πρβλ. Ἡρόδ. 9. 122, Ἀριστ. π. τὰ Ζ. Ἱστ. 5. 28, 4, Ruhnk. εἰς Τίμ. ἐν λέξ., οὕτως οἱ Ῥωμαῖοι ἔλεγον laetus ἐπὶ πλουσίας εὐφόρου γῆς)· αὖτιος ἐπὶ φυτῶν (πρβλ. τὸ τοῦ Οὐεργ. triste lupinum), Θεόφρ. π. Φυτ. Αἰτ. 2. 4, 5· λ. τροφαὶ αὐτόθι 6· λ. ἀργύριον ὁ αὐτ. ἐν Χαρ. 4· μισθάριον Διογ. Λ. 10. 4. **II.** = λυπηρός, **4)** ἐπὶ πρασώπων, προξενῶν πόνους, θλῖψιν, λύπην, ἐνοχλητικός, ἐμοί γε λυπρὸς Αἰσχύλ. Εὐμ. 174· λ. φανεῖ Εὐρ. Μήδ. 302. **2)** ἐπὶ καταστάσεων καὶ περιστάσεων, λυπηρός, θλιβερός, Αἰσχ. Πέρσ. 1034, Χο. 835, Εὐρ. Ἄλκ. 370, κτλ.· τὸ λυπρὸν Εὐρ. Ἱκέτ. 38. **III.** Ἐπίρρ., λυπρῶς ἔφερεν, aegre ferebat, αὐτόθι 898· λ. πράττειν Πλουτ. Δίων 58· ὡσαύτως, λυπρὰ πράττειν ὁ αὐτ. ἐν Κίμ. 1. — Καθ' Ἡσύχ.: «λυπρῶς· εὐτελῶς. λυπηρῶς».

λυπρότης, ητος, ἡ, ἀθλιότης, τὸ ἄγονον τῆς γῆς, Στράβ. 130, κτλ.

λυπρό-χωρος, ον, = **λυπρόγεως.** Στράβ. 427.

λυπτά (lupa ?)· «ἑταίρα, πόρνη» Ἡσύχ.

λύρα [ῡ], ἡ, Λατ. lyra, ἑλληνικὸν μουσικὸν ὄργανον ὅμοιον τῇ **κιθάρᾳ**, περὶ ἧς ἐλέγετο ὅτι ἐπενοήθη ὑπὸ τοῦ Ἑρμοῦ, Ὁμ. Ὕμν. εἰς Ἑρμ. 423, Πίνδ., κτλ.· ἀλλ' οὐδαμοῦ παρ' Ὁμ. (ὥστις περὶ ὁμοίων μουσικῶν ὀργάνων ἔχει τὰ ὀνόματα **κίθαρις** καὶ **φόρμιγξ**). — Τὸ κοῖλον ἢ σῶμα τῆς λύρας ἦτο βαθύτερον ἢ τὸ τῆς κιθάρας καὶ ἦτο μεγαλειτέρα ἢ ὥστε νὰ φέρηται ἐπὶ τῶν γονάτων· ὁ Κύκλωψ Πολύφημος περιγράφεται ὡς ἔχων κρανίον ἐλάφου γυμνὸν τῶν σαρκῶν ὡς λύραν, καὶ τὰ κέρατα αὐτῆς ἐχρησίμευον ὡς πήχεις, Λουκ. Ἐνάλ. Διάλ. 1. 4· αἱ χορδαὶ αὐτῆς ἦσαν τὸν ἀριθμὸν ἑπτὰ (ὡς ἐν τῇ κιθάρᾳ τοῦ Τερπάνδρου), κέλαδος ἑπτατόνου λύρας Εὐρ. Ι. Τ. 1129, κτλ.· ἂν καὶ κατὰ πρῶτον εἶχε μόνον τέσσαρας, Διόδ. 3. 16. Ἡ ἐφεύρεσις αὐτῆς ἀπεδίδετο εἰς τὸν Ἀπόλλωνα, ὡς ἡ τῆς κιθάρας εἰς τὸν Ἑρμῆν, ἀλλ' ἡ διάκρισις τῶν δύο δὲν ἐτηρεῖτο αὐστηρῶς, ἴδε ἐν λέξ. **κιθάρα** καὶ πρβλ. **λυριστής**· ἐπειδὴ δὲ ἔπεμπεν ἦχον ἰσχυρὸν καὶ πλήρη, ἐθεωρεῖτο ὡς τὸ ἀνδρικώτατον πάντων τῶν ἐγχόρδων ὀργάνων, πρβλ. **κιθάρα**· διὰ τὸν αὐτὸν λόγον δὲν μετεχειρίζοντο αὐτὴν εἰς θρήνους καὶ εἰς μουσικὴν οἵα ἡ τοῦ Φρυγίου τρόπου, ἥτις διὰ ταῦτα καλεῖται ὁ ἄνευ λύρας θρῆνος, Αἰσχύλ. Ἀγ. 990· πρβλ. **ἄλυρος, ἀφόρμικτος.** **II.** ἡ λυρικὴ ποίησις καὶ μουσική, Πλάτ. Νόμ. 809C, E. **III.** ὁ ἀστερισμὸς τῆς λύρας, Ἀνακρ. 70, ἔνθα ἴδε Bgk., Ἀριστ. Ἀποσπ. 191, Ἄρατ. 268. **IV.** εἶδος θαλασσίου ἰχθύος, ἴσως Trigla Lyra, Ἀριστ. π. τὰ Ζ. Ἱστ. 4. 9, 3.

λῦρ-αοιδός (ἡ **λυράοιδος**, Ἀρκάδ. σ. 86. 25), ὁ, ἡ, ὁ ᾄδων πρὸς λύραν, Ἀνθ. Π. 7. 612, Πλαν. 279· — συνηρημ. **λυρῳδός**, Ἀνθ. Π. 6. 118· λ. γυνὴ Πλουτ. Σύλλ. 33.

λῡρίζω, παίζω τὴν λύραν, Χρύσιππ. παρὰ Πλουτ. 2. 1037Β, Ἀνακρεόντ. 45. 12.

λῡρικός, ἡ, όν, ἀνήκων εἰς τὴν λύραν, μοῦσα Ἀνακρεόντ. 25. 2· τέχνη Πλούτ. 2. 13Β. **II.** ὡς οὐσιαστ., λ, ὁ, ὁ παίζων τὴν λύραν, Ἀνθ. Π. 11. 78, Πλουτ. Νουμ. 4· ἡ λυρικὸς ποιητής, Cic. Orat. 55. 183.

λύριον, τό, ὑποκορ. τοῦ **λύρα,** ἐνέγκατω τις τὸ λύριον Ἀριστοφ. Βάτρ. 1304, Συλλ. Ἐπιγρ. 150Β, 49· — ὡσαύτως **λυρίς, ίδος,** ἡ, Ἀρκάδ. 29. 5.

λύρισμα, τό, = τῷ ἑπομ. Γρηγ. Ναζ. ΙΙΙ, 1332Δ.

λῡρισμός, ὁ, τὸ λυρίζειν, Σχολ. εἰς Ἀριστοφ. Πλ. 242.

λῡριστής, οῦ, ὁ παίζων τὴν λύραν, Πλιν. Ἐπιστ. 9. 17· — ἴσον τῷ παρὰ τοῖς δοκίμοις **κιθαριστής,** Ἑλλάδ. ἐν Φωτ. Βιβλ. 529. 37· — θηλ. **λυρίστρια,** ἡ, Αὐγουστῖν.

λυρίτης· «ζῷόν τι, ταῖς δρυσὶν ἐντύκτων» Ἡσύχ.

λῦρο-γηθής, ές, ὁ χαίρων, τερπόμενος τῇ λύρᾳ, Ἀνθ. Π. 9. 525, Ἀν. Παρ. σ. 4. 350.

λῦρό-δμητος, ον, ὁ διὰ τῆς λύρας οἰκοδομηθείς, ἐπίθ. τῶν Θηβῶν, Νόνν. Δ. 25. 415, κ.ἀλλ.

λῡρόεις, εσσα, εν, ὅμοιος πρὸς τὴν λύραν, Θεόπομπ. Κολοφ. παρ' Ἀθην. 183Α. **II.** ἁρμόζων εἰς τὴν λύραν, λυρικός, Ἀνθ. Π. 7. 30 (πιθ. γραφ. ἀντὶ τοῦ **λυρώδην**).

λῦρο-εργός, όν, οὗ ἔργον τὸ λυρίζειν, ἐπίθετ. τοῦ Ἀπόλλωνος, νῦν γάρ σοι, λυροεργέ, φίλου μέλος ἀείδοντα κτλ., Ὀρφ. Ἀργ. 7.

λῦρο-θελγής, ές, ὑπὸ τῆς λύρας θελγόμενος, Ἀνθ. Π. 9. 250.

λῦροκτῦπία, ἡ, τὸ κρούειν τὴν λύραν, Ἀνθ. Π. 6. 54, Πλαν. 277.

λῦρο-κτύπος, ον, κρούων, παίζων τὴν λύραν, Νόνν. Ἰω. 7. 42, Ἑλλ. Ἐπιγρ. 663, Ἀυκόφρ. 918.

λῦροπηγός, ὁ, λυροποιός, Σχόλ. εἰς Ἀριστοφ. Ὄρν. 491.

λῦροποιητικός, ἡ, όν, ὁ ἀνήκων εἰς τὴν λυροποιΐαν· ἡ **λυροποιητική** (ἐξυπ. τέχνη), Πολυδ. Ζ', 153.

λῦροποιΐα, ἡ, ἡ τέχνη τοῦ κατασκευάζειν λύρας, Πολυδ. Ζ', 153.

λῦροποιικός, ἡ, όν, = **λυροποιητικός**· — ἡ λυροποιητικὴ (δηλ. τέχνη), ἡ τέχνη ἢ τὸ ἐπιτήδευμα τοῦ λυροποιοῦ, Πλάτ. Εὐθύδ. 289C.

λῦρο-ποιός, ὁ, ὁ ποιῶν, κατασκευάζων λύρας, Ἀνδοκ. 10. 8, Πλάτ. Εὐθύδ. 289Β, D, Κρατ. 390Β, πρβλ. Bgk. Ἀνακρ. 27. **II.** λυρικὸς ποιητής, Τζέτζ. Ἐξήγ. Ἰλ. σ. 65, 14.

λῦρο-φοίνιξ, ὁ, εἶδος λύρας, Ἴβυκος παρ' Ἀθην. 175D, 183D, «λυροφοίνιξ· εἶδος κιθάρας» Ἡσύχ.· — ὑποκορ. **λυροφοινίκιον,** τό, Πολυδ. Δ', 59.

λυρτός, τό, Ἠπειρωτ. λέξ. ἀντὶ **ακύφος,** Σέλευκος παρ' Ἀθην. 500Β.

λῦρῳδέω, ᾄδω πρὸς λύραν, παίζω τὴν λύραν καὶ ᾄδω συγχρόνως, Τζέτζ. Χιλ. 10. 410.

λῦρῳδής, ες, (εἶδος) = **λυρόεις,** Ἀνθ. Π. παράρτ. 176.

λῦρῳδία, ἡ, ᾆσμα ᾀδόμενον πρὸς λύραν, Πολυδ. Δ', 58.

λῦρῳδός, ὁ, συνήρ. ἀντὶ **λυραοιδός,** ἃ ἴδε.

λῦρωνία, ἡ, (ὠνέομαι) τὸ ἀγοράζειν λύρας, «Ἀριστοφάνης δ' ἐν Δαιταλεῦσι καὶ **λυρωνίαν** που λέγει» Πολυδ. Ζ', 154.

λῦσ-αλγής, ές, ὁ λύων, καταπαύων τὸ ἄλγος, Νικητ. Εὐγ. 6. 245.

Λυσάνδρια, (βέλτιον **-εια** ὡς παρ' Ἡσυχ. καὶ Φωτ.), τά, πανήγυρις ἀπὸ Λυσάνδρου ἀνομασθεῖσα, ἤγοντο δὲ ἐν αὐτῇ ἀγῶνες καὶ θυσίαι, Πλουτ. Λύσ. 18.

λῦσ-ᾰνίας, ου, ὁ, (λύω, ἀνία) ὁ λύων τὰς ἀνίας, λ. κακῶν Ἀριστοφ. Νεφ. 1162. πρβλ. **παυσανίας.**

λύσειοι τελεταί· «οὕτως ἐλέγοντο τινὲς τελεταί, ἐπεὶ καὶ Λύσιος ἐλέγετο ὁ Διόνυσος» Ἡσύχ.

λῦσ-έρως, ωτος, ὁ, ὁ ἀπαλλάττων, ἀπελευθερῶν ἀπὸ ἔρωτος, Σχόλ. εἰς Οὐεργ. Αἰν. 4. 520.

λῦσ-ήνωρ, -ορος, ὁ, ἡ, ὁ ἐκλύων τοὺς ἄνδρας, Τρυφιόδ. 449.

λῦσιγᾶμος, ον, διαλύων τὸν γάμον, Ἀνθ. Π. 5. 302.

λῦσι-γυΐα, ἡ, χαλάρωσις τῶν μελῶν, Ἱππ. 415. 37. — (**λυσιγυιία** Schneider, λυσίγυια Lobeck, Paralip. σ. 333).

λῦσ-ίδρως, ωτος, ὁ, ἡ, ὁ ἀπαλλάττων ἀπὸ τοῦ ἱδρῶτος, Α. Β. 1197.

λῦσι-έθειρα, ἡ, ἔχουσα κόμην λελυμένην, ἠμελημένην, Νόνν. Δ. 19. 329.

λῦσί-ζωνος, ον, ἐπὶ στρατιώτου, ὁ καταθεὶς τὴν πανοπλίαν, ἄνευ ζώνης, ἄοπλος, Λατ. discinctus, Σεβαστὸς τοὺς ἐπὶ στρατοπέδου διαμαρτόντας ἐκέλευε πρὸ τοῦ στρατηγείου λυσιζώνους ἑστάναι Πολύαιν. 8. 24, 3. **II.** ἡ λύσασα τὴν ζώνην, «γυνή, ἥτις ἐνυμφεύθη» Ἡσύχ., «ἡ ἀνδρὶ πληισάσασα» Σουΐδ.· — ἐντεῦθεν ὡς ἐπίθ. τῆς Ἀρτέμιδος εἰς ἣν αἱ παρθένοι αἱ μέλλουσαι νὰ ἐλθωσιν εἰς μέξιν μετ' ἀνδρὸς ἀνετίθεσαν τὰς παρθενικὰς αὐτῶν ζώνας, καὶ τῆς Εἰλειθυίας, ἥτις ἐβοήθει τὰς ὠδινούσας γυναῖκας, Σουΐδ., Θεόκρ. 17. 60, Ὀρφ. Ὕμν. 1. 7, κτλ.

λῦσί-θριξ, τρῐχος, ὁ, ἡ, ἔχων λελυμένας τὰς τρίχας, λυτὴν τὴν κόμην, Γεωπ. 12. 8. 5.

λῦσι-κάκος, ον, καταπαύων τὸ κακόν, Θέογν. 476· κ. ἀλλ. **λυσικ-.**

λῦσι-κομος, ον, = **λυσίθριξ,** Φιλόστρ. 925, Νόνν. Δ. 19. 329.

λῦσι-κοπος, ον, ὁ ἀπαλλάττων ἀπὸ τοῦ κόπου, Ποιητ. Βοταν. 28 (ἐν Fabr. B. Gr. τ. 2. σ. 636).

λῦσιμάχειον, τό, ἰατρική τις βοτάνη, ἡ καταπαύουσα τὴν μάχην, Διοσκ. 4. 3· παρὰ Πλιν. 25. 7, Lysimachia· παρ' Ἡσυχ. «**Λυσιμάχειος**· βοτάνη, εὑρεθεῖσα ὑπὸ Λυσιμάχου», καὶ **Λυσιμάχιος** παρὰ Γαλην. 13. 204.

λῦσί-μᾰχος, ον, ὁ λύων, καταπαύων μάχην, ἔριν, Ἀνθ. Π. 5. 71, κτλ.· θηλ. **λυσιμάχη,** Ἀριστοφ. Εἰρ. 994, Λυσ. 554.

λῦσι-μελής, ές, ὁ τὰ μέλη τοῦ σώματος λύων, ἐπίθ. τοῦ Ὕπνου, Ὀδ. Υ. 57., Ψ. 343, Μόσχ. 2. 4, κτλ.· ἐπὶ τοῦ Ἔρωτος, Ἡσ. Θ. 911, Ἀρχιλ. 78, Σαπφὼ 43, κτλ.· ἐπὶ δίψης, Θέογν. 838· ἐπὶ θανάτου, Εὐρ. Ἱκέτ. 46· ἐπὶ οἴνου, ἀσθενείας, κτλ. Ἀνθ. Π. 11. 414· ἐπὶ τῶν Ἐρινύων, Ὀρφ. Ὕμν. 69. 9.

λῦσι-μέριμνος, ον, ὁ λύων τὰς μερίμνας, Ἀνθ. Π. 9. 524, 12· ἐπὶ τοῦ Ἑρμοῦ, τῆς Ἀρτέμιδος, τοῦ Ὕπνου, Ὀρφ. Ὕμν. 27. 6, κτλ.

λῠσῐμος [ῠ̆], **ον,** ἱκανὸς νὰ λύῃ ἡ ἀνακουφίζῃ, Αἰσχύλ. Ἱκέτ. 811. **II.** ὃν δύναταί τις νὰ ἐξαγοράσῃ, λυτρώσιμος, ἐνέχυρον Πλάτ. Νόμ. 820Ε. **2)** ὃν δύναταί τις νὰ λύσῃ, ἀναιρέσιμος, συλλογισμὸς Ἀριστ. Ἀναλυτ. Πρότ. 2. 27, 5.

λῦσί-νομος, ον, ὁ λύων, παραβαίνων τὸν νόμον, Νόνν. Ἰω. 9. 28.

λῦσιος [ῡ] **α, ον,** (λύσις) ὁ ἀπολύων, ἐλευθερώνων, ἀπολυτρώσεως, λύσιοι θεοί, οἱ θεοὶ οἱ ἀπολυτροῦντες ἀπὸ κατάρας ἢ ἁμαρτίας, Πλάτ. Πολ. 366Α· μάλιστα ὡς ἐπίθετον τοῦ Βάκχου, Διόνυσος Λύσιος, Πινδ. Ἀποσπ. 124, Πλούτ. 2. 613C, κτλ., Ὀρφ. Ὕμν. 49. 2, πρβλ. Παυσ. 9. 16, 6· ὡσαύτως **Λύσειος,** Ὀρφ. Ὕμν. 41. 4· κλητ. **Λυσεῦ,** αὐτόθι 51. 2, ἔνθα ὁ Λοβ. προτείνει **Κισσεῦ.**

λῦσί-παίγμων, ον, γενικ. **-ονος,** λύων, δηλ. παρέχων παίγνιον, παιδιάν, διασκέδασιν, Ἀνακρεόντ. 51. 9· — ἐναντίον τῆς ἀναλογίας, ἀφοῦ ἅπαντα τἄλλα ἐπίθετα τὰ σύνθετα μετὰ τοῦ **λυσι-** ἔχουσι τὸ υ μακρὸν ὡς τὸ ἐκ τοῦ ἀπαρεμφ. **λῦσαι,** καὶ οὐχὶ ἐκ τοῦ αὐσιαστικοῦ **λῦσις** [ῡ]· ὅθεν ὁ Ἔρμανν. προτείνει **λυσιπαίγμων**· πρβλ. **λυσιπήμων.**

λῦσί-πήμων, -ονος, ὁ, λύων, καταπαύων θλῖψιν ἢ πόνον, Ὀρφ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ὑπν. 1. 11., 58. 20, ἔνθα ὁ Ἔρμανν. **λαθιπήμων**, δι' ὃν λόγον μεταβάλλει καὶ τὸ **λυσιπαίγμων**.

λυσι-πλόκαμος, ή, ἡ ἔχουσα τοὺς πλοκάμους λελυμένους, ὡς τὸ **λυσίκομος**, λυσίθριξ, Μ. Φιλῆς τ. Β', σ. 267, ἔκδ. Mill.

λῡσί-ποθος, ον, ὁ λύων, καταπαύων τὸν πόθον, Ἀνθ. Π. 5. 269.

λῡσι-πόνιον, τό, ἰατρικὸν μύρον ἢ ἰατρικὴ ἀλοιφή, Γαλην. 12. 771, Ἀλέξ. Τραλλ. 1. σ. 97.

λῡσί-πονος, ον, ὁ ἀπαλλάττων ἀπὸ κόπου, ἀνακουφίζων τὸν κόπον, θεράποντες Πινδ. Π. 4. 72· λ. τελευτά, ὁ θάνατος ὁ ἀπαλλάττων ἀπὸ φροντίδων, ὁ αὐτ. ἐν Ἀποσπ. 96.

λύσις [ῠ], -εως, Ἰων. -ιος, ἡ, (λύω) ὡς καὶ νῦν, «λύσιμον», ἀπελευθέρωσις, ἀπαλλαγή, ἀπολύτρωσις, ἐξαγορά, νεκροῖο Ἰλ. Ω. 655· σώματος Λυσ. 101. 39· ἡ λ. τῶν αἰσθήσεων ἐγρήγορσις Ἀριστ. π. Ὕπν. 1. 14· — μετὰ γεν. ἀντικειμ., λ. θανάτου, ἀπαλλαγὴ ἀπὸ τοῦ θανάτου, Ὀδ. Ι. 421, Θέογν. 1010· λ. ἔριδος Ἡσ. Θ. 637· χρειῶν ὁ αὐτ. ἐν Ἔργ. κ. Ἡμ. 402· πενίης Θέογν. 180· λύσιν αἰτέειν κακῶν Ἡρόδ. 6. 129· πενθέων Πινδ. Ν. 10. 143· μόχθων τῶν ἐφεστώτων Σοφ. Τρ. 1171· τῶν δειμάτων Θουκ. 2. 102· τῶν δεσμῶν Πλάτ. Πολ. 532Β· ἀπὸ τῶν δεσμῶν αὐτόθι 515C· ἐκ χαλεπῶν Θέογν. 1385· βλασφημίας Δημ. (Ἐπ.) 1484. 8. **2)** ἀπολ., οὐ γὰρ ἦν λύσις ἄλλη στρατῷ πρὸς οἶκον, διότι οὐδὲν ἄλλο μέσον ὑπῆρχεν ὅπως ὁ στρατὸς ἀπαλλαχθεὶς τοῦ λιμένος ἀπέλθῃ εἰς τὴν πατρίδα, Σοφ. Ἠλ. 573.

3) ἀπαλλαγὴ ἀπὸ ἐνοχῆς δι' ἐξιλαστικῶν θυσιῶν, ὅπως λ. τιν' ἡμῖν εὐαγῆ πόρῃς, ὅπως παράσχῃς ἡμῖν ἀπαλλαγήν, ἥτις νὰ μᾶς καθαρίσῃ, Σοφ. Ο. Τ. 921· οὐδ' ἔχει λύσιν [τὰ πήματα], οὐδ' ἐπιδέχονται ἐξιλέωσιν, ὁ αὐτ. ἐν Ἀντ. 598· λύσεις καὶ καθαρμοὶ τῶν ἀδικημάτων Πλάτ. Πολ. 364Ε· τῇ ἐκείνης λύσει καὶ καθαρμῷ, διὰ τῆς ὑπ' ἐκείνης προσφερομένης ἐξιλεώσεως, ὁ αὐτ. ἐν Φαίδωνι 82D· αἱ νομιζόμεναι λ., ἐν περιπτώσει ἀνθρωποκτονίας, Ἀριστ. Πολιτικ. 2. 4, 1· πρβλ. **λύσιος**. **4)** περὶ τοῦ ὠμὴ λύσις ἴδε **ὠμήλυσις**. **II.** ἀπόλυσις, ἀ. ἀχώρησις, λ. καὶ χωρισμὸς ψυχῆς ἀπὸ σώματος Πλάτ. Φαίδων 67D· ἁπλῶς, ἡ τοῦ σώματος λ. ὁ αὐτ. ἐν Ἀξιόχ. 371Α· — διάλυσις, πολιτείας ὁ αὐτ. ἐν Νόμ. 945C, Ἀριστ. Πολιτικ. 2. 8, 17· βίου λύσιν ἔσχε Ἑλλ. Ἐπιγράμμ. 737· τῶν σφραγίδων αἱ λύσεις, ὁ τρόπος τοῦ ἀφαιρεῖν αὐτάς, Λουκ. Ἀλέξ. 20. **2)** χαλάρωσις, κατάπτωσις, πείνη μέν που λ. καὶ λύπη Πλάτ. Φίληβ. 31Ε· Στωϊκὸς ὅρος ἀντὶ τοῦ **λύπη**, Κικ. Tusc. 3. 25· ἡ λ. τῶν κοιλιῶν Ἀριστ. Προβλ. 27. 3, 2. **3)** λ. πυρετοῦ, χαλάρωσις πυρετοῦ, Γαλην. **4)** ὡς τεχνικὸς ὅρος, α) λύσις δυσκολίας τινός, Ἀριστ. Ρητ. 2. 25, 1, κ. ἀλλ.· ἡ λ. τῆς ἀπορίας ὁ αὐτ. ἐν Ἠθ. Νικ. 7. 2, 12, κ. ἀλλ.· ἔχει τινὰ λ. πρὸς ταύτην τὴν ἀπορίαν, ὅτι .., ὁ αὐτ. π. Ψυχ. 2. 11, 3· οὐ συμβαίνει ἡ λ. ὁ αὐτ. ἐν Ἠθ. Νικ. 7. 13, 1· εὑρεῖν λ. τοῦ προβλήματος Πολύβ. 30. 17, 5·— ὡσαύτως, ἑρμηνεία, ἐξήγησις, σημείων τε τεράτων τε λύσεις Ὀρφ. Ἀργ. 37. β) ἡ ἀναίρεσις ἐπιχειρήματος, Ἀριστ. Σοφιστ. Ἔλεγχ. 24, κέξ., Ρητορ. 2. 25, 2, κ. ἀλλ.· dissolutio παρὰ τῷ Cornificus ad Herennium 1. 3. γ) ἡ λύσις τῆς ὑποθέσεως τραγῳδίας ἐν ἀντιθέσει πρὸς τὸ **δέσις**, Ἀριστ. Ποιητ. 15. 10., 18, 11, κέξ. δ) ὁ κολασμὸς ἰσχυρᾶς ἐκφράσεως, Λογγῖν. 38. ε) ἡ διάλυσις φωνήεντος εἰς δύο, ὡς ἥλιος, ἠέλιος, ὡς τὸ **διαίρεσις**, Δημήτρ. Φαληρ. 70· ἢ συνθέτου λέξεως εἰς τὰ συνθετικὰ αὐτῆς μέρη, ὡς σῖτου ποιπὴ ἀντὶ **σιτοποιμπία**, ὁ αὐτ. 92, κτλ. **III.** ὄρπου λ., τόπος συμποσίου, ὡς τὸ **κατάλυσις** Π, Πινδ. Ο. 11 (11). 57. **IV.** ὄνομα μέλους ἀρχιτεκτονικοῦ, Vitruv. de arch. III, 4, 5., V, 5, 6.

λῡσι-σωματέω, χαλαροῦμαι κατὰ τὸ σῶμα, Ἱππ. 1160. 1.

λῡσιτέλεια, ἡ, κέρδος, ὠφέλεια, Θεόφρ. παρὰ Διογ. Λ. 5. 54, Διόδ. 1. 36· λ. περὶ τὸν χρόνον, οἰκονομία χρόνου κατὰ τὰς πληρωμάς, Πολύβ. 32. 13, 11.— Λέξις ἀποδοκιμαζομένη ὑπὸ τῶν Ἀττικιζόντων, Φρύνιχ.

λῡσιτελέω, κυρίως, ἀπαζημιώνω διὰ γενομένην δαπάνην, ἢ πληρώνω τὸ ὀφειλόμενον καὶ ἀκολούθως «πληρώνω», δηλ. παρέχω ὠφέλειαν, παρέχω κέρδος (πρβλ. **λύω** V. 2), μετὰ δοτ., **I.** γ' ἑνικ. καὶ ἀπαρ., οὗ φημι' ἂν λυσιτελεῖν σφῶν [τοῦτο] Ἀριστοφ. Πλ. 509· λυσιτελεῖ ἡμῖν ἡ δικαιοσύνη Πλάτ. Πρωταγ. 327Β· τοιοῦτος οἷος δεσπότῃ λυσιτελεῖν Ξεν. Ἀπομν. 2. 1, 15. **2)** τὸ πλεῖστον ἀπρσ., λυσιτελεῖ μοι, μὲ ὠφελεῖ, εἶναι καλλίτερον δι' ἐμέ, μετὰ μετοχ., οἷς λυσιτελεῖ πειθομένοις Λυσ. 174. 14· πολλοῖς δεῖ ἐλυσιτέλησεν ἀδικήσασι Πλάτ. Ἄλκ. 1. 113D· — μετ' ἀπαρ., λ. προϊέναι ὁ αὐτ. ἐν Θεαιτ. 181Β· τεθνάναι λυσιτελεῖ ἢ ζῆν, εἶναι καλλίτερον νὰ ἀποθάνῃ τις παρὰ νὰ ζῇ, Ἀνδοκ. 16. 28, πρβλ. Πλάτ. Πολ. 407Δ, Ξεν. Κύρ. 2. 4, 12· — τὸ δὲ πρόσωπον ἐκφέρεται κατὰ δοτ., ὠφελεῖ τινα νὰ πράξῃ τοῦτο ἢ ἐκεῖνο, οὗ γὰρ οἱ λυσιτελεῖν .. δικάζειν Ἡρόδ. 1. 97· ὅτι μοι λυσιτελοῖ ὥσπερ ἔχω ἔχειν Πλάτ. Ἀπολ. 22Ε, πρβλ. Ξεν. Ἱέρ. 7. 13· ἀλλ' ἐνίοτε κατ' αἰτ., εἶναι καλὸν νά .., λυσιτελέει τὸν μέλλοντα κακῶς ἐπιτρεύσασθαι ἀμφοτέρα καταγῆναι τὰ σκέλεα μᾶλλον ἢ τὸ ἕτερον Ἱππ. περὶ Ἄγμ. 765, πρβλ. Πλάτ. Πολ. 406D· — ἀπολ., ἐλυσιτέλει γὰρ Ἀξιόνικ. ἐν «Χαλκιδικῷ» 1. 6. **II.** πλὴν τοῦ γ' ἑνικ., τὸ αὐθέτ. τῆς μετοχ. εἶναι ἐν χρήσει ὡς οὐσιαστ., τὸ λυσιτελοῦν, ὠφέλεια, κέρδος, πλεονέκτημα, Πλάτ. Πολ. 336D, Δημ. 26. 16· τὰ λυσιτελοῦντα Θουκ. 6. 85, Πλάτ. κτλ.· τὸ τέλος λυσιτελοῦν καλέσαι Πλάτ. Κρατ. 417C.

λῡσιτελής, ές, (λύω V, τέλος) κυρίως, ὁ πληρώνων τὰ γινόμενα ἔξοδα, ἴδε Ἑρμηνευτ. εἰς Πλάτ. Κρατ. 417C· ἐντεῦθεν, χρήσιμος, ὠφέλιμος, ἐπωφελής, ἐπικερδής, τὸ πρᾶγμά μοι λ. Ἀξιόνικ. ἐν «Χαλκιδικῷ» 1. 8· οὐδέποτ' .. λυσιτελέστερον ἀδικία δικαιοσύνης Πλάτ. Πολ. 354Α, πρβλ. 364Α· ἐμπορεύματα λυσιτελέστερα Ξεν. Ἱέρ. 9, 11· λυσιτελεστάτην ζωὴν ζῆν Πλάτ. Πολ. 344Ε· λυσιτελῆ, πλεονεκτήματα, Πολύβ. 4. 38, 8· τὸ λυσιτελέστατον πρὸς ἀργύριον, ὅ,τι ἦτο ὠφελιμώτατον ὡς πρὸς τὰ χρήματα, Δημ. 461. 2. **2)** εὐθηνός, Ξεν. Πόροι 4, 30, Διον. Ἁλ. 7. 37. **II.** σπανίως ἐπὶ προσώπων, Πλάτ. Φαῖδρ. 239C. **III.** Ἐπίρρ. **-λῶς**, Διόδ. 14. 102· Ὑπερθ. **-έστατα**, Ἡρῳδιαν. 3. 5. **2)** εὐθηνά, τοῦ δέους τὸ πρίασθαι λυσιτελέστερον Αἰλ. π. Ζ. 10. 50.

λῡσιτελοῦντως, Ἐπίρρ. μετοχ. ἐνεστ. τοῦ **λυσιτελέω**, χρησίμως, ὠφελίμως, ἐπωφελῶς, Ξεν. Οἰκ. 20, 21, Πλάτ. Ἀλκ. 2. 146Β· τινὶ Δίων Κ. 56. 40.

λῡσι-τόκος, ον, λύουσα τοὺς πόνους ἢ τὰς ὠδῖνας τοῦ τοκετοῦ, θέαινα Νόνν. Δ. 41. 166. **II.** Παθ., **λῡσίτοκος**, ἀπελευθερωθεὶς διὰ τοῦ τοκετοῦ, θάλαμοι λ., δηλ. ὡς τεχθέντα, Ὀππ. Κυν. 3. 128.

λυσιφάρμακον, τό, ἀντίδοτον, Ἀλέξ. Α. 569.

λῡσι-φλεβής, ές, ὁ λύων, τέμνων τὰς φλέβας, δηλ. τὴν σπερματώδη φλέβα, τὸ γεννητικὸν μόριον, Ἀνθ. Π. 6. 94.

λῡσί-φροντις, **-ιδος**, ὁ, ἡ, ὁ λύων τὰς φροντίδας, Κ. Μανασσ.

λυσί-φρων, **-ονος**, ὁ, ἡ, ὁ ἀπαλλάσσων ἐκ τῶν φροντίδων, ὁ λυσ. Λυαῖος Ἀνακρεόντ. 50. 2.

λῡσι-χαίτης, ου, ὁ, = **λυσίθριξ**, Νικήτ. Χρον. 12. 5.

λῡσί-χιτων [Ῐ], **-ωνος**, ὁ, ἡ, ὁ φορῶν λυτὸν χιτῶνα, δηλ. ἄνευ ζώνης, Νόνν. Δ. 5. 407.

λῡσι-ῳδός, ὁ, ὁ ἐν ἀνδρείοις προσώποις γυναικεῖα ὑποκρινόμενος, ἢ ὁ ὑποκρινόμενος ἀνδρεῖα καὶ γυναικεῖα πρόσωπα, Ἀριστοξ. παρ' Ἀθην. 211C, 620E, Πλουτ. Σύλλ. 36· ἐκ τοῦ γράψαντος ᾠδὰς διὰ τοιούτους ὑποκριτὰς ὅστις ἐκαλεῖτο **Λῦσις**, Στράβ. 648· πρβλ. **μαγῳδός**· — ὡσαύτως ἡ **λυσιῳδός**. **II** ὡς ἐπίθ., λ. αὐλοί, οἱ αὐλοὶ οἱ συνοδεύοντες τοιαύτας ᾠδάς, αὐτόθι 182C.

λύσσα, Ἀττ. **λύττα**, ἡ, μανία, ὀργή, ἁρμή, Λατ. rabies, ἐν ᾗ· Ἰλιάδι ἀείποτε ἐπὶ πολεμικῆς μανίας, κρατερὴ δέ ἑ λύσσα δέδυκεν Ι. 239· λύσσαν ἔχειν ὁλοὴν αὐτόθι 305· λ. δὲ οἱ κὴρ αἰὲν ἔχε κρατερὴ Φ. 542. **2)** μεθ' Ὅμ., μανιώδης ὁρμή, μανία, παραφροσύνη, οἵαν οἱ θεοὶ ἐπέφερον ὡς ἐπὶ τῆς Ἰοῦς, λύσσης πνεύματι μάργῳ Αἰσχύλ. Πρ. 883· ἐπὶ τοῦ Ὀρέστου, ὁ αὐτ. ἐν Χο. 288, Εὐρ. Ὀρ 254, κτλ.· οὕτως ἐπὶ βακχικῆς μανίας, Ἐλαφρὰ λ. ὁ αὐτ. ἐν Βάκχ. 851· θοαὶ λύσσης κύνες, ἐπὶ τῶν Ἐρινύων, αὐτόθι 977· λύσσῃ παράκοπος Ἀριστοφ. Θεσμ. 681· ἐπιτεταμ., λ μαινὰς Σοφ. Ἀποσπ. 678· λύττα ἐρωτικὴ Πλάτ. Νόμ. 839Α· λύσσα, μόνον, ἐπὶ ἐρωτικῆς μανίας, Θεόκρ. 3. 47.

3) προσωποπ., Λύσσα ἡ θεὰ τῆς λύσσης, τῆς μανίας, Εὐρ. Ἡρ. Μαιν. 823. **II.** κυνικὴ μανία, «λύσσα», Ξεν. Ἀν. 5. 7, 6, Ἀριστ. π. τὰ Ζ. Ἱστ. 8. 22, 1. **2)** ὁ ὑπὸ τὴν γλῶσσαν τῶν κυνῶν σκώληξ ἀφαιρούμενος ἐπειδὴ ἐπιστεύετο ὅτι παρῆγε τὴν λύσσαν, Πλίν. 29. 32. (Ἐντεῦθεν παράγονται τὰ ῥήματα **λυσσάω**, **λυσσαίνω**, κτλ.· ὁ Βόππ παραβάλλει Σανσκρ. rush-yâmi (irasci, furere), rush (ira, furor).)

λυσσάπορτα, τά, εἶδος παιδιᾶς, Λεύντ. Κύπρ. 1713D.

λυσσαίνω, εἶμαι λυσσασμένος, τινί, ἐναντίον τινός, Σοφ. Ἀντ. 633.

λυσσᾶλέος, α, ον, **λυσσῶν**, λυσσασμένος, μανιώδης, Ἀπολλ. Ρόδ. Δ. 1393.

λυσσάς, ή, λυσσώδης, μανιώδης, λυσσασμένη, Τιμόθ. 1 Bgk., Ἀνθ. Πλαν. 289· λ. μοῖρα Εὐρ. Ἡρ. Μαιν. 1024.

λυσσάω, Ἀττ. **λυττάω**, εἶμαι πλήρης μανίας ἢ ὀργῆς ἐν τῇ μάχῃ, Ἡρόδ. 9. 71· πρβλ. **λύσσα** ἐν ἀρχῇ. **2)** εἶμαι λυσσώδης, μανιώδης, Σαφ. Ο. Τ. 1238, Ἀντ. 492, Πλάτ. Πολ. 329C, κτλ.· λ. πρὸς μέξιν Ψευδο-Φωκυλ. 202· ἔρωτες λυττῶντες Πλάτ. Πολ. 586C· — μετ' ἀπαρ., μανιωδῶς ἐπιθυμῶ νὰ πράξω τι, Ἡλιόδ. 2. 20. **II.** ἐπὶ κυνῶν, Ἀριστοφ. Ἀνσ. 298, Ἀριστ. π. τὰ Ζ. Ἱστ. 8. 22, 1· ἐπὶ λύκων, Θεόκρ. 4. 11 (ἐν ἀμφιβόλῳ τινὶ χωρίῳ)· ἐπὶ ἵππων, Ἀριστ. π. τὰ Ζ. Ἱστ. 8. 24, 4.

λυσσηδών, Ἐπίρρ., μανιωδῶς, μετὰ μανίας, Ὀππ. Ἁλ. 2. 573.

λυσσήεις, εσσα, εν, **λυσσαλέος**. Ἡσύχ.

λύσσημα, τό, παροξυσμὸς ἢ προσβολὴ μανίας· ἐν τῷ πληθ. μανιώδεις κινήσεις ὁρμαί, εἴ μ' ἐκφοβοῖεν μανιάσιν λυσσήμασιν Εὐρ. Ὀρ. 270.

λυσσητήρ, ες, = **λυσσαλέος**, Ὀρφ. Ὕμν. 68. 6, Μαξίμων 6 560.

λυσσητήρ, ῆρος, ὁ, λυσσώδης, μανιώδης, κύων Λ Ἰλ. Φ. 290· ἰὸς κυνὸς Ἀνθ. Π. 5. 266· παῦε Λ. αὐτόθι 6. 94.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λυσσοδάκτης, ὁ, ὁ ἐκ λύσσης δάκνων, λυσσοδάκτης κύων Κ. Μανασσ. ἐν Annu. des Etudes Gr. τ. IX, σ. 65.

λυσσητής, οῦ, ὁ, = τῷ προηγ., Ἀνθ. Π. παράρτ. 132· Δωρ. -ᾱτάς, 7. 473.

λυσσητικός, ἡ, όν, μανιώδης, ὁρμητικός, πρὸς τἀφροδίσια Διὶ. π. Ζ. 12. 10.

λυσσό-δηκτος, ον, δηχθεὶς ὑπὸ λυσσῶντος κυνός, Γεωπ. 12. 17, 14.

λυσσο-δίωκτος, ον, καταδιωκόμενος ὑπὸ μανίας, Ξεν. Ἐφ. 1, 6.

λυσσομανέω, εἰμαι μανιώδης, λυσσῶ, μαίνομαι, Μανέθων 4. 216.

λυσσο-μᾰνής, ές, ὁ λυσσηδὸν μαινόμενος, Ἀνθ. Π. 11. 232· πλόκαμοι αὐτόθι 6. 219.

λυσσομανία, ἡ, μανία ἐκ λύσσης, Ἰουλιαν. 436B.

λυσσόω, κάμνω τινὰ λυσσαλέον, μαινόμενον, Ἐπικ. μετοχ. λυσσώων Ἀνθ. Π. 5. 266, Μανέθων 1. 244· — Παθ., εἶμαι ἢ γίνομαι μανιώδης, Ψευδο-Φωκυλ. 114.

λυσσώδης, ες, (εἶδος) ὅμοιος πρὸς λυσσῶντα, μανιώδης, μαινόμενος, ἐπὶ πολεμικῆς ὁρμῆς, Ἰλ. Ν. 53. **2)** ἀνήκων εἰς μανίαν, λ. νόσος Σοφ. Αἴ. 452· ἐπὶ τοῦ Διονύσου, Εὐρ. Βάκχ. 980· τὸ λυσσώδες = λύσσα, Φαβωρῖνος παρὰ Στοβ. 514. 13.

λυσσ-ῶπις, ιδος, ἡ, ἔχουσα λυσσώδεις ὄμμα ἢ βλέμμα, Ὀρφ. Ἀργ. 977.

λυταρίς· εμήκωνος εἶδος· Ἡσύχ.

λύται, οἱ, ἀπουδασταὶ τῆς νομικῆς διανύοντες τὸ τέταρτον ἔτος τῶν σπουδῶν αὐτῶν· ὅσοι δὲ εἶχον ἔτι ἓν ἔτος νὰ διανύσωσιν ἐκαλοῦντο προλύται, Corp. J. Civ. σ. 59, πρβλ. Heinecc. Antt. Rom. praef. § 45.

λύτειρα [ῠ], θηλ τοῦ λυτήρ, Ὀρφ. Ὕμν. 9. 17., 31. 13.

λῠτέον, ῥηματ. ἐπίθετ. τοῦ λύω, δεῖ λύειν, Πλάτ. Γοργ. 480E.

λῠτήρ, -ῆρος, ὁ, (λύω) ὁ λύων, ὁ ἀπαλλάττων, πόνων Εὐρ. Ἰλ. 136· πόρον .. γάμου λυτῆρα (κατὰ τὸν Schütz ἀντὶ καὶ λυτήρια) Αἰσχύλ. Ἱκέτ. 807· ὁ Λυτρωτής, Νόνν. Εὐαγγ. κ. Ἰω. 17. 21. **II.** διαιτητής, ἐκφέρων ἀπόφασιν, νεικέων Αἰσχύλ. Θήβ. 941.

λῠτηριάς, -άδος, ἡ, = λύτειρα, Ὀρφ. 13. 8.

λῠτήριος, ον, (α. ον. Ὀρφ. Ὕμν. 35. 7), ὁ λύων, ἀπολύων, ἀνακουφίζων, ἀπαλλάττων, δαίμονες Αἰσχύλ. Θήβ. 175· λ. ἄκη, μηχανή ὁ αὐτ. ἐν Ἱκέτ. 268, Εὐμ. 646· πλοῦτον δωμάτων λυτήριον ὁ αὐτ. ἐν Χο. 820· λ. σημεῖον, σύμπτωμα θεραπείας, Ἱππ. Προγν. 45· — μετὰ γεν., ὅπως γένοιτο τῶνδ' ἐμοὶ λ., λυτρωτής μου, Αἰσχύλ. Εὐμ. 298· λυτήριους εὐχὰς δεινμάτων Σοφ. Ἠλ. 635· τόδ' ἂν κακῶν μόνον γένοιτο .. λ. αὐτόθι 1190, πρβλ. 447· τὸ μεθύειν πημονῆς λ. ὁ αὐτ. ἐν Ἀποσπ. 697· ὡσαύτως, ἐκ θανάτου λ. Εὐρ. Ἄλκ. 224· — τὸ ἐν Σορ. Τρ. 554 λυτήριον λύπημα ἑρμηνεύεται ὑπὸ τοῦ Linwood θεραπευτικὸς πόνος, ἤτοι ἀλγεινὴ θεραπεία· ἀλλ' ὁ Δινδ. ὑποβάλλει γνώμην ὅτι ἡ πρώτη συλλαβὴ ἐν τῷ λύπημα ἐπαναλαμβάνεται ἐκ τοῦ λυτήριον, καὶ ὅτι κήλημα ἢ τοιοῦτόν τι ἀναγνωστέον· ὁ Jebb ἐπιτυχέστατα ἀντικατέστησε τὴν λέξ. λώφημα, ἣν ὑποστηρίζει ἐν μακρᾷ ὑποσημειώσει. **II.** = λύτρον, τὸ λ. δαπανᾶν, ἡ ἀμοιβὴ ἢ ἀποζημίωσις πάσης δαπάνης, Πινδ. Π. 5. 113· — Καθ' Ἡσύχ.: «λυτήριος· φύλαξ», καὶ λυτήριον· φυλακτήριον».

λῠτικός, ἡ, όν, ἔχων τὴν δύναμιν νὰ προξενῇ λύσιν, κίνησιν, ἔχων καθαρτικὴν δύναμιν, τῆς κοιλίας Μνησιθ. παρ' Ἀθην. 92C, πρβλ. 31B· λ. φάρμακα Ἀριστ. Προβλ. 27. 10, Θεοφρ. π. Φυτ. Ἱστ. 9. 16, 5. **II.** ἱκανὸς νὰ ἀναιρέσῃ, ἀναιρετικός, ἐπὶ λογικῶν ἐπιχειρημάτων, Ἀριστ. Ρητορ. 2. 26, 3· — ἐπιτήδειος εἰς λύσιν πολυπλόκων ζητημάτων, ἐπὶ γραμματικοῦ, Ἀθήν. 493C.

λῠτός, ἡ, όν, (λύω) ὃν δύναται τις νὰ λύσῃ, Πλάτ. Τίμ. 41A, κ. ἀλλ. **II.** ὃν δύναταί τις νὰ διαλύσῃ, εὐδιάλυτος, ὑπό τινος αὐτόθι 43D, 60D, Ἀριστ. Μετεωρ. 4. 6, 12: — λυτῶς ὁ αὐτ. π. Ζ. Μορ. 2. 2, 25. **III** ἐπὶ λογικῶν ἐπιχειρημάτων καὶ δυσκολιῶν, ὃν δύναταί τις νὰ λύσῃ, νὰ ἀναιρέσῃ, ὁ αὐτ. ἐν Ρητ. 1. 2, 18.

λύτρον, τό, (λύω) ἡ γενομένη πληρωμή, **1)** τὸ χρῆμα τὸ διδόμενον πρὸς λύτρωσίν τινος, τὸ πλεῖστον ἐν τῷ πληθ., τῶν λ. τὴν δεκάτην, τὸ δέκατον τῶν χρημάτων τῆς ἀπολυτρώσεως, Ἡρόδ. 5. 77· Ἕκτορος λύτρα, ὄνομα δράματος τοῦ Αἰσχύλ.· λύτρα λαμβάνειν τινός τι, λαμβάνειν τι ὡς λύτρον τινός, Θουκ. 6. 5· τῆς θυγατρὸς λύτρα φέρων Πλάτ. Πολ. 393D· λύτρα ἀποδιδόναι, καταθεῖναι Δημ. 1250. 1, καὶ 18· εἰσφέρειν εἰς λύτρα, συνεισφέρειν εἰς .., ὡ αὐτ. ἐν 1248. 25· ἀφιέναι ἄνευ λύτρων, ἀπολύειν ἄνευ λύτρων, Ξεν. Ἑλλην. 7. 2, 16· μετὰ γενικῆς, λύτρα ἀνδρῶν .. αἰχμαλώτων λαοῦν τὴν γῆν Θουκ. ἔνθ' ἀνωτ., **2)** ἐξιλασμός, ἐξιλάωσις, λύτρον συμφορᾶς, διὰ τὴν .., Πινδ. Ο. 7. 141· τί γὰρ λ. πεσόντος αἵματος (οὕτως ὁ Cauter ἀντὶ λυγρόν)· Αἰσχύλ. Χο. 84· οὕτω καὶ ἐν τῷ πληθ., τῆς θυγατρὸς λ. φέρειν Πλάτ. Πολ. 393D· — συχνάκις παρὰ Χριστιανοῖς συγγραφ., λ. ἀντὶ πολλῶν Εὐαγγ. κ. Ματθ. 20. 28· λ. ὑπὲρ γαμέτου· Ἑλλ. Ἐπιγρ. 547. 12. **3)** καθόλου, ἀμοιβή, ἀνταμοιβή, λύτρον καμάτων Πινδ. Ι. 8 (7) 1. **II.** lythrum, φυτόν τι ὅμοιον τῷ λυσιμαχίῳ, Διοσκ. 4. 3.

λυτρο-χᾰρής, ές, χαίρων ἐπὶ τοῖς λύτροις, Χρ. Σιβ. 8. 491· διάφ. γραφ. λυθροχαρής.

λυτρόω, (λύτρον) ἀπολύω τινά, ἀρίνω αὐτὸν ἐλεύθερον λαμβάνων λύτρα, λ. τινα χρημάτων ὅσων δοκεῖ, ἀντὶ ποσοῦ χρημάτων συμφωνουμένου, Πλάτ. Θεαίτ. 165E.— Μέσ., ἐλευθερώνω τινὰ πληρώνων λύτρα, ἀπολυτρώνω, ἐξαγοράζω, τὴν χώραν χρημάτων οὐκ ὀλίγων Πολύβ. 17. 16, 1.— Παθ., ἀπελευθεροῦμαι, ἀπολυτροῦμαι διὰ λύτρου, λελυτρῶσθαι ἐκ τῶν ἰδίων Δημ. 394. 18, πρβλ. Ἀριστ. Ἠθ. Ν. 9. 2, 4.

λυτρών, ῶνος, ὁ, ἀπόπατος, «ἀπόπατον καὶ κοπρῶνα λέγουσιν. ὁ δὲ ἀφεδρὼν καὶ λυτρὼν βάρβαρα» Δ. Β. 133, 16.

λυτρώσιμος, ον, ὃν δύναται νὰ λυτρώσῃ τις, Φώτ., Σουΐδ.

λύτρωσις, ἡ, ἡ διὰ λύτρων ἀπελευθέρωσις, Πλουτ. Ἄρατ. 11· — παρὰ Χριστιανοῖς συγγραφ., ἡ ἀπολύτρωσις.

λυτρωτέον, ῥηματ. ἐπίθ., πρέπει τις νὰ λυτρώσῃ, Ἀριστ. Ἠθ. Ν. 9. 2, 4.

λυτρωτήριος, α, ον, ἀπολυτρώνων, σωτήριος, Χρον. Πάσχ. σ. 18, 20.

λυτρωτής, οῦ, ὁ, ὁ ἀπολυτρώνων, ἐλευθερωτής, Πρόξ. Ἀποστ. ζ', 35, Ἐκκλ.

λυτρωτικός, ἡ, όν, ἀνήκων ἢ ἁρμόζων εἰς λυτρωτήν, Θεόδ. Πρόδρ.

λυττεῖ· «πολλὰ λαλεῖ» Ἡσύχ.

λύττα, **λυττάω**, **λυττητικός**, κτλ., ἴδε ἐν λέξ. **λυσσ-**.

λύττος, η, ον, Κρητ. λέξις ἀντὶ ὑψηλός, Στέφ. Βυζ. ἐν λέξ. **Λύκτος**· — Καθ' Ἡσύχ.: «λύττοι· οἱ ὑψηλοὶ τόποι».

λῠτωρ, ορος, ὁ, = λυτήρ, πλημμελ. γραφ. ἀντὶ ῥύτωρ, ἐν Ἀνθ. Π. 9. 351· — διότι τὸ υ ἐν τῷ λύτωρ πρέπει νὰ εἶναι βραχύ.

λυχναῖος λίθος, ὁ, = λυχνίτης, Ἡσύχ.

λυχναπτέω, ἀνάπτω λύχνον, φωτίζω, **λυχναπτεῖσθαι** Ἐπιγραφ. Τηΐα Roehlsched Epigr. σ. 27.

λυχν-άπτης, ου, ὁ, ὁ ἀνάπτων τοὺς λύχνους, Ἡσύχ.· θηλ. -άπτρια, ἡ ἐπὶ τῶν λύχνων τῆς Δήμητρος ἐν Ἐλευσῖνι, Συλλ. Ἐπιγρ. 481· — **λυχν-αφία**, ἡ, «λυχνοκαυτίαν δὲ ἣν οἱ πολλοὶ λέγουσι, λυχναφίαν Κηφισόδωρος ἐν Υ' (4), Ἀθήν. 701A· καὶ κατὰ τὸν Εὐστάθ. (1571, 22) «λέγει δὲ ὁ Ναυκρατίτης ῥήτωρ καὶ ὅτι **λυχνοκαυτίαν** ἔρη Κηφισόδωρος, ἣν οἱ πολλοὶ **λυχναφίαν**».

λυχναύγημα, τό, αὐγή, λάμψις λύχνου, Acta et diplom. Gr. ed. Miclos. et Müll σ. 61.

λυχνεῖον, τό, (λύχνος) στήριγμα λύχνου, **λυχνοστάτης**, **λυχνοῦχος**, Φερεκρ. ἐν Κραπατάλλοις» 5, Ἀριστοφ. Ἀποσπ. 270, πρβλ. **λυχνίον**.

λυχν-έλαιον, τό, ἔλαιον διὰ λύχνον, Ἀλέξ. Τραλλ. 1. σ. 2.

λυχνεύς, έως, ὁ, = **λυχνίτης**, Καλλίξ. παρ' Ἀθην. 205F, πρβλ. 699D.

λυχνεύω, (λύχνος) φωτίζω, φέγγω, τινά Ἀρέθ. ἐν Ἀποκ. σ. 905.

λυχνεών, ῶνος, ὁ, τόπος, ἐν ᾧ φυλάττονται οἱ λύχνοι, Λουκ. π. Ἀλη. Ἰστ. 1. 29.

λυχνία, ἡ, **λυχνοστάτης**, Συλλ. Ἐπιγρ. 2852. 17., 3071. 8, Πλουτ. Δίων 9, Λουκ. Ὄ. 40, κτλ.· ἀποδοκιμάζεται ὑπὸ τῶν ἀττικιζόντων, Λοβ. Φρύν. 313.

λυχναῖος, α, ον, ὁ ἀνήκων εἰς λύχνον, Σέξτ. Ἐμπ. Π. 1. 119, Γαλην. πρβλ. Λοβεκ. Φρύν. 552, προσέτι **λεχναῖος** ἀντὶ **λειχναῖος** Ἰω. Μόσχος 2908A.

λυχνίας λίθος, ὁ, = **λυχνίτης**, Πλάτ. Κωμ. ἐν «Σοφισταῖς» 8, προσέτι **λυχνεύς**, Ἡσύχ.

λυχνίδιον, τό, ὑποκορ. τοῦ **λυχνίον**, μικρὰς λυχνοστάτης, λυχνοῦχος, Ἀριστοφ. Ἀποσπ. 115, 274, Κράτης ἐν «Γείτοσιν» 5. [Πιθ. -ῖδ-, πρβλ. Ἑρμιππ. ἐν «Φορμοφόροις» 4].

λυχνικός, ἡ, όν, ὁ ἀνήκων εἰς τοὺς λύχνους, **λυχνικοὶ ψαλμοὶ** καὶ **προσευχαί**, ἑσπερινοὶ ψαλμοὶ καὶ προσευχαί, Ἐπιφαν. Π, 829A, κλ.· — ὡς οὐσιαστ. **λυχνικόν**, τό, ἡ ὥρα, καθ' ἣν ἀνάπτονται οἱ λύχνοι ἐν τῷ ναῷ κατὰ τὸν ἑσπερινόν, Λατ. hora incensaria, ὅτε ψάλλεται ὁ προαιμιακὸς ψαλμός, Παλλαδ. Λαυσ. 1100B, Κυριλλ. Σκυθ. ἐν Βίῳ Σάβ. 325A, κλ.

λυχνίον, τό, = **λυχνεῖον**, Ἀντιφ. ἐν «Ἀφροδίτης γοναῖς» 1, Θεόκρ. 21. 36, Λουκ. Συμπ. 46.

λυχνίς, ίδος, ἡ, φυτόν τι ἔχον λαμπρὸν κόκκινον ἄνθος ἐν χρήσει εἰς στεφάνους, Θεόφρ. π. Φυτ. Ἱστ. 6. 8, 3, Ἀνθ. Π. 4. 1, 23, κτλ. **2)** λ. ἀγρία, εἶδος λίνου, Πλίν. 25. 80. **II.** πολύτιμός τις καὶ λάμπων λίθος, πιθ. τὸ καλούμενον «ῥουβίνιον», Λουκ. π. τῆς Συρ. θεοῦ 32· ὡσαύτως **λύχνις**, ὁ, Εὐστ. εἰς Διον. Π. 329.

λυχνίσκος, ὁ, εἶδος ἰχθύος, Λουκ. π. Ἀλη. Ἰστ. 2. 30.

λυχνίτης [ῐ], ου, ὁ, πολύτιμός τις λίθος ἐρυθρᾶς χρώματος, Πλάτ. Ἐρυξ. 400D, Σερᾶδ. 830, Achmes Ὄναιρ. 247, Πλίν. 37. 30· — ἄλλα διάφορος τοῦ φέροντος τὰ ὀνόματα **λυχνίτης**. **II.** λ. λίθος, ὄνομα τοῦ Παρίου μαρμάρου ὅπερ ἐλατομεῖτο ὑπὸ τὸ φῶς λύχνων, Βάρρων παρὰ Πλιν. 36 ἤ. 2.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λυχνῖτις, ἔδος, ἡ, φυτόν τι, τοῦ ὁποίου τὰ φύλλα ἐχρησίμευον ὡς θρυαλλίδες τῶν λύχνων, Πλίν. 25, 74· φλομὶς λ. ἐν Διοσκ. 4. 104.

λυχνό-βιος, ον, ὁ ζῶν διὰ τοῦ φωτὸς τοῦ λύχνου, ἐν Σενέκ. Ἐπιστ. 122.

λυχνο-ειδής, ές, ὅμοιος πρὸς λύχνον, Ἰαμβλ. Προτρ. σ. 360. Kiessl.

λυχνο-καΐα, Ἰων. -ΐη, ἡ, τὸ ἀνάπτειν λύχνους, λυχναψία, φωταψία, Κρατῖν. ἐν «Τροφωνίῳ» 8, Δίων Κ. 79. 16· παρ' Ἡροδ. 2. 62, ἑορτή τις ἐν Σάϊδι τῆς Αἰγύπτου, ὁμοιάζουσα πρὸς τὴν τῶν Τούρκων «Καντὴλ γκετζεσί».

λυχνο-καυτέω, καίω λύχνους, Δίων Κ. 63. 20· ἰδιάζω τις τύπος **λυχνοκῶσα** = **λυχνοκαυτοῦσα** ἀπαντᾷ παρὰ Τηλεκλείδ. ἐν Ἀδῆλ. 20· — οὐσιαστ. **λυχνοκαυτία**, ἡ, = **λυχνοκαΐα**, **λυχναψία**, Ἀθήν. 701Α.— Πρβλ. Λοβ. Φρύν. 523.

λύχνον, τό, = **λύχνος**. Ἱππῶναξ παρὰ τῷ Μεγ. Ἐτυμολ. 572. 21, ἐκτὸς ἐὰν τοῦτο λογισθῇ λάθος τῶν Γραμμ. προκῦψαν ἐκ τοῦ **λύχνα**, πληθ. τοῦ **λύχνος**.

λυχνόποιέω, κατασκευάζω λύχνους, Ἀνθολ. παρὰ τῷ Σχολ. εἰς Ἀριστοφ. Σφ. 1001· — ἐκ τοῦ **λυχνο-ποιός**, ὄν, ὁ κατασκευάζων λύχνους, Ἀριστοφ. Εἰρ. 690, Φιλέταιρ. ἐν «Ἀχιλλεῖ» 1.

λυχνό-πολις, ἡ, πόλις λύχνων, Λουκ. π. Ἀληθ. Ἱστ. 1. 29.

λυχνοπωλέω, πωλῶ λύχνους, Σχόλ. εἰς Λουκ. Τίμ. 30.

λυχνο-πώλης, ου, ὁ, ὁ πωλῶν λύχνους, Ἀριστοφ. Ἱππ. 739.

λύχνος, ὁ· πληθ. **λύχνοι** Βατραχομυομ. 179, Ἀριστοφ. Ἱππ. 1315, Ἀντιφ. ἐν «Γάμῳ» 2, ὁ αὐτ. ἐν «Μετοίκῳ» 1· ἀλλ' ὁ συνήθης τύπος τοῦ πληθ. εἶναι οὐδ. **λύχνα** Ἡρόδ. 2. 62, 133, Εὐρ. Κύκλ. 514, κτλ.· (ἴδε **λύκη**)· — φῶς δυνάμενον νὰ μεταφέρηται, λύχνος, διαφέρον ἀπὸ τοῦ ἀκινήτου λαμπτῆρος, καθότι ὁ λύχνος ἐφέρετο ἐν τῇ χειρὶ ἢ ἐτίθετο ἐπὶ λυχνοστάτου (ἴδε **λυχνεῖον**, **λυχνία**, **λυχνοῦχος**), χρύσεος λ. Ὀδ. Τ. 34· λύχνα καίειν, ἀνάπτειν, Ἡρόδ., ἔνθ' ἀνωτ.· ἅπτε, παῖ, λύχνον Ἀριστοφ. Νεφ. 18· ὡσαύτως, λύχνους ἅπτειν, ποιεῖν λυχναψίαν, φωταψίαν, Ἀρρ. Ἐπίκτ. 2. 17, 37· λ. ἀποσβέσαι Ἀριστοφ. Πλ. 668· λ. ἀπεσβήκει, εἶχε σβεσθῆ, Πλάτ. Συμπ. 218Β· περὶ λύχνων ἁφάς, κατὰ τὴν ὥραν καθ' ἣν ἀνάπτονται οἱ λύχνοι, δηλ. ὅταν ἀρχίζῃ νὰ νυκτώνῃ, Ἡρόδ. 7. 215· πάννυχος λ. παρακαίεται, διατηρεῖται καίων πλησίον δι' ὅλης τῆς νυκτός, Ἡρόδ. 2. 130· ἔλαιον ἡμῖν οὐκ ἔνεστ' ἐν τῷ λύχνῳ Ἀριστοφ. Νεφ. 56· πρβλ. **κεράτινος**. **2)** ἐν τῷ πληθ., οἱ λύχνοι ἢ τὰ λύχνα, τὸ μέρος τῆς ἀγορᾶς ἔνθα ἐπωλοῦντο οἱ λύχνοι, αὐτόθι 1065.

λυχνοῦχος, ὁ, (ἔχω) λυχνοστάτης ἐφ' οὗ ὁ **λύχνος** ἐτοποθετεῖτο, καὶ τὸν λυχνοῦχον ἔκφερ' ἐνθεὶς τὸν λύχνον Φερεκ. ἐν «Δουλοδιδασκάλῳ» 5· διαστίλβοντθ' ὁρῶμεν ὥσπερ ἐν καινῷ λυχνούχῳ Ἀριστοφ. Ἀποσπ. 114· ἑξελὼν ἐκ τοῦ λυχνούχου τὸν λύχνον Ἄλεξ. ἐν «Κηρυττομένῳ» 1, πρβλ. Λυσ. Ἀποσπ. 51, Bgk. ἐν Meineke Κωμ. Ἀποσπ. 2. σ. 1060, Λοβ. Φρύν. 60.

λυχνοφορέω, φέρω λύχνον, λυχνοφορίοντες (Λακων.) Ἀριστοφ. Λυσ. 1003.

λυχνο-φόρος, ον, ὁ φέρων λύχνον, Πλουτ. Πομπ. 51, Ἀθήν. 214D.

λύχνωμα, τό, μοτός, ξαντόν, Σχόλ. εἰς Ἀριστοφ. Ἀχ. 1175· πρβλ. **λαμπάδιον**.

λύω, ποιητ. προστ. **λῦθι** (ὡς εἰ ἐκ ῥήμ. **λῦμι**) Πινδ. Ἀποσπ. 55· μέλλ. **λύσω** [ῡ]· ἀόρ. **ἔλῡσα**· πρκμ. **λέλῡκα** Θουκ. 7. 18, Ἀριστοφ. Σφ. 992 (**ἀπο-**), κτλ.· — Παθ., πρκμ. **λέλῡμαι**· ὑπερσ. **ἐλελύμην** [ῡ]· ἀόρ. **ἐλύθην**, Ἐπικ. **λύθην** [ῡ] Ὀδ. Θ. 360, Εὐρ. Ἑλ. 860, Θουκ., κτλ.· μέλλ. **λῡθήσομαι** Πλάτ. Τίμ. 41Β, Ἰσοκρ., κτλ.· ὡσαύτως **λελύσομαι** [ῡ] Δημ. 178. 21, Ξεν. Κύρ. 6. 2, 37 (**ἀπο-**)· — τούτοις προσθετέον Ἐπικόν τινα παθ. ἀόρ. (μετὰ τύπου ὑπερσ.) **ἐλύμην** ἢ **λύμην** [ῡ] Ἰλ. Φ. 80· **λύτο** [ῡ] αὐτόθι 114· ἀλλὰ **λῦτο** Ω. 1· **λύντο** Η. 16· ὡσαύτως γ' εὐκτ. πρκμ. **λελῦτο**, ἀντὶ **λελύοιτο**, σπανιώτατ. τύπος, Ὀδ. Σ. 238.— Μέσ., μέλλ. **λύσομαι**, ἀόρ. **ἐλῡσάμην**· ὁ παθ. πρκμ. **λέλῡμαι** κεῖται ἐν μέσῃ σημ. παρὰ Δημ. 958. 14, Ἀριστ. Ῥητ. 2. 23, 23 (πρβλ. **δια-**, **κατα-λύω**)· ἐνῷ ὁ μέλλ. **λῡσόμεκ** κεῖται ἐπὶ παθ. σημασίας ἐν συνθέσ. μετὰ τῆς προθέσ. **διά**, Θουκ. 2. 12, μετὰ τῆς **ἐπί**, Λυσ. 174. 38, μετὰ τῆς **κατά**, Ξεν. Κύρ. 1. 6, 9.— Ὁ Ὅμ. μεταχειρίζεται πάντας τοὺς τύπους πλὴν τοῦ ἐνεργ. πρκμ. [Ἐν τῷ ἐνεστ. καὶ παρατ. ῡ ἀείποτε παρ' Ἀττ., ῡ κατὰ τὸ πλεῖστον παρ' Ἐπικ., ἂν καὶ ὁ Ὅμ. ἔχει τὸ φωνῆεν τοῦτο δὶς μακρὸν ἐν ἄρσει, **ἔλῡεν** Ἰλ. Ψ. 513, **λῡεῖ** Ὀδ. Η. 74· ἐν συνθέτοις ὡσαύτως μακρὸν ἐν θέσει, **ἀλλῡεσκεν** Β. 105· **ἀλλῡουσαν** αὐτόθι 109· — ἐν τῷ μέλλοντι καὶ ἀορ. α' τὸ υ μακρὸν ἀείποτε:— ἐν ἑτέροις δὲ χρόνοις τὸ υ βραχὺ ἀείποτε πλὴν ἐν τοῖς ἐξαιρετικοῖς τύποις **λελῦτο**, **λῦτο**, ἴδε ἀνωτ.· — **λελῡμένος** ἀπαντᾷ μόνον παρὰ λίαν μεταγενεστέροις ποιηταῖς ὡς ἐν Θεοδ. Προδρ.] (Ἐκ τῆς √ΛΥ, τῆς ἧς καὶ αἱ λ. **λύ-η**, **λύ-σις**, **λυ-τήρ**, **λύ-τρον**· πρβλ. Σανσκρ. lû, lu-nâmi (seco, disseco) Λατ. lu-o, (πληρώνω), re-lu-o, so-lv-o, (ἀντὶ so-lu-o), so- lu-tus· Γοτθ. lau-sja (λύω), lau-s (κενός), us-lau-sjôins (λύτρωσις), Ἀγγλ. loose (χαλαρός, λελυμένος), κτλ.— ἀλλὰ τὸ **λούω**, κτλ., παράγονται ἐκ τῆς √ΛΟϜ.

Ἡ πρώτη σημασία εἶναι ἡ τοῦ λύω, κοινῶς «λύνω»: **I**, ἐπὶ πραγμάτων, χαλαρώνω, λύω, ἀφαιρῶ τοὺς δεσμούς, «λύνω», ἰδίως ἐπὶ ἐνδυμάτων καὶ ὁπλισμοῦ, λῦσε δέ οἱ ζωστῆρα, θώρηκα Ἰλ. Δ. 215., Π. 804· ἀλλά, λῦσε δὲ παρθενίην ζώνην, ἐπὶ ἀνδρός, ἔλυσε δὲ τὴν παρθενικὴν ζώνην (δηλ. τὴν ζώνην τῆς συζυγικῆς τιμῆς, διότι ἡ Τυρὼ δὲν ἦτο παρθένος, ἀλλὰ γυνὴ τοῦ Κρηθέως), ἢ οἱ συνεγένετο αὐτῇ, Ὀδυσ. Λ. 245· ἐπὶ γυναικὸς παρθένου, λύω τὴν παρθενικήν μου ζώνην, συγγίγνομαι ἀνδρί, λύσι χαλινὸν ὑφ' ἥρωϊ παρθενίας Πινδ. Ἴσθμ. 8 (7)· 95· ἔνθα παρθένει' .. ἔλυσ' ἐγὼ κορεύματα Εὐρ. Ἄλκ. 177 (πρβλ. **ζώνη**)· οὕτως, ἔλυσας ἅγνευμα σὸν ὁ αὐτ. ἐν Τρῳ. 501· — συχν. ἐπὶ τῶν καλῳδίων καὶ ἄλλων σχοινίων τῶν πλοίων, λ. πρυμνήσια, ἱστία, λαῖφος, κτλ., Ὀδ. Β. 418., Ο. 496, 552, Ὁμ. Ὕμν. εἰς Ἀπόλλ. 405· κέξι, κτλ., (ἀλλ' οὐδαμοῦ οὕτως ἐν Ἰλ.), πρβλ. Εὐριπ. Ἑκάβ. 539, 1020, κτλ.· ἀσκὸν λῦσαν, ἔλυσαν τὸν ἀσκόν, Ὀδ. Κ. 47· ἀκολούθως συχν. παρ' Ἀττ. (πρβλ. **ὑπολύω**), λ. σταλάς, πέπλον Σοφ. Ο. Κ. 1596, Τρ. 924· λ. ἡνίαν, χαλαρώνω, ὁ αὐτ. ἐν Ἠλ. 743· λ. κλῆθρα, ἀνοίγω, Αἰσχύλ. Θήβ. 396· λ. γράμματα, δέλτον, ἀνοίγω ἐπιστολήν, Εὐρ. Ι. Α. 38. 307· λ. πέδας, δεσμά Αἰσχύλ. Εὐμ. 645, Εὐρ. Ἡρ. Μαιν. 1123· ἀρτάνας ἐμῆς δέρης ἔλυσαν, ἔλυσαν ἐκ τοῦ τραχήλου μου, Αἰσχύλ. Ἀγ. 876, πρβλ. Εὐρ. Ἱππ. 781 — Μέσ., ἐλύσατο κεστὸν ἱμάντα, ἔλυσε τὴν ζώνην της, Ἰλ. Ξ. 214· ἀλλά, λύοντο τεύχεα, ἔλυον τὸν ὁπλισμὸν δι' ἑαυτούς, δηλ. ἀφῄρουν τὰ ὅπλα (ἑτέρων), Ρ. 318· μεταγεν., λύσασθαι τρίχα, κόμας, πλοκαμίδας Βίων 1. 20, κτλ.: — ἀκολούθως, **6)** κατὰ διαφόρους φράσεις, στόμα λ. ἀνοίγειν τὸ στ., Εὐρ. Ἱππ. 1060, Ἰσοκρ. 252C· λ. γλῶσσαν εἰς αἰσχροὺς μύθους Κριτί. 2. 10 Bgk.· λ. βλεφάρων ἕδραν, ἀνοίγω τοὺς ὀφθαλμούς μου, ἐξυπνῶ, Εὐρ. Ῥῆσ. 8· λ. ὀφρύν, χαλαρώνω τὰς ὀφρῦς, ὁ αὐτ. ἐν Ἱππ. 290· ἄχος λ. ἀπ' ὀμμάτων Σοφ. Αἴ. 706, κτλ. **2)** ἐπὶ ἐμψύχων, **α)** ἐπὶ ἵππων, κτλ., λύω, «ἐξεζεύγω», ἀντίθετ. τῷ **ζεύγνυμι**, Ὀδ. Δ. 35, συχν. ἐν Ἰλ.· ἐξ ὀχέων, ὑπὲξ ὀχέων Ἰλ. Ε. 369., Θ. 504· ὑφ' ἅρμασιν Σ. 244· ὑπὸ ζυγοῦ Ὀδ. Δ. 39· ὑπὸ ζυγόφιν Ἰλ. Ω. 576· ὑπ' ἀπήνης Ὀδ. Η. 5· καὶ ἐν τῷ μέσ. τύπῳ, λύεσθαι ἵππους ὑπ' ὀχεσφι Ἰλ. Ψ. 7· οὕτω, βόε λῦσαι, Ἡσ. Ἔργ. κ. Ἡμ. 606 — ὡσαύτως, λύε μώνυχας ἵππους, ἔλυσεν αὐτοὺς ἐκ τοῦ μέρους ὅπου ἦσαν δεδεμένοι, Ἰλ. Κ. 498· λ. κύνα, ἀφίνω ἐλεύθερον, Ξεν. Κυν. 6. 13. κτλ. **β)** ἐπὶ ἀνθρώπων, λύω, ἐλευθερώνω, ἀπαλλάττω, ἰδίως ἐκ δεσμῶν ἢ φυλακῆς, ἐπομένως καθόλου, ἐκ δυσκολίας ἢ κινδύνου, Ἰλ. Ο. 22· Ὀδ. Θ. 345., Μ. 53, κτλ.· ὁ λύσων, ὁ μέλλων νὰ ἐλευθερώσῃ, Αἰσχύλ. Πρ. 771, 785· — μετὰ γεν. πράγμ., λύειν τινὰ κακότητος Ὀδ. Ε. 397, πρβλ. Πινδ. Π. 3. 89, κτλ.· οὕτω παρ' Ἀττ., λ. τινὰ δεσμῶν Αἰσχύλ. Πρ. 1006· ὄκνου, πημονῆς, κτλ., Σοφ. Τρ. 181, κτλ.· ὡσαύτως, λ. τινὰ ἐκ δεσμοῖο Ὀδ. Θ. 360, πρβλ. Πινδ. Ο. 4. 34, Αἰσχύλ. Πρ. 872, Εὐρ. Ἱππ. 1244, Πλάτ. Πολ. 360C· ὡσαύτως, ἔλυσε δόμους ἁβρότατος, διέλυσε τοὺς οἴκους τῆς ἁβρότητος, Πινδ. Π. 11. 51· λ. τινὰ τῆς ἀρχῆς, ἀπολύειν, καθαιρεῖν τινα ἀπὸ τοῦ ἀξιώματος, Διόδ. 13. 92.— Μέσ., κυρίως, ἐνεργῶ ὥστε νὰ λυθῇ ἢ ἐλευθερωθῇ τις, λύσασθαί τινα δυσφροσυνάων Ἡσ. Θ. 528· ὅσπερ Ἰὼ πημονᾶς ἐλύσατο Αἰσχύλ. Ἱκέτ. 1066.— Παθ., λυθῆναι τὰς πέδας Διόδ. 17. 116· λέλυται γὰρ λαὸς ἐλεύθερα βάζειν, ὡς ἐλύθη ζυγόν, ἀφέθη ὁ λαὸς νὰ ὁμιλῇ ἐλευθέρως εὐθὺς ὡς ἀφῃρέθη ὁ ζυγός, Αἰσχύλ. Πέρσ. 592. **γ)** ἐπὶ αἰχμαλώτων, ἀπολύω ἐπὶ παραλαβῇ λύτρων (**ἀποινῶν**), ἀπελευθερόω, Ἰλ. Α. 29., Ω. 137, 555, κτλ.· λ. τινὰ τινι Α. 20., Ω. 561, Ὀδ. Κ. 298· Σαρπηδόνος ἔντεα καλὰ λύσειαν, θὰ ἀπέδιδον .., Ἰλ. Ρ. 162· πλῆρες, λύειν τινὰ ἀποίνων Α. 106· χρημάτων μεγάλων Ἡρόδ. 2. 135· ἀνὴρ ἀντ' ἀνδρὸς λυθεὶς Θουκ. 5. 3· — Μέσ., ἐλευθερώνω τινὰ πληρώνων λύτρα δι' αὐτόν, Ἰλ. Α. 13., Ω. 118, κ. ἀλλ. Ὀδ., καὶ Ἀττ.· λύεσθαί τινα ἐκ πολεμίων Λυσ. 122. 7· ἵππον Ξεν. Ἀν. 7. 8, 6· ὅσους αὐτὸς ἐλυσάμην τῶν αἰχμαλώτων Δημ. 394. 6· λ. τινι τὸ χωρίον ὁ αὐτ. 1215, 20· ἑαυτοὺς ἔφασαν βούλεσθαι λύσασθαι, εἶπον ὅτι οἱ ἴδιοι ἤθελον νὰ λυτρώσωσιν ἑαυτοὺς καταβάλλοντες τὰ λύτρα, ὁ αὐτ. 391. 11· λυσάμενος, «ἐλευθερώσας ἐκ τοῦ πορνοβοσκείου» (Σχολ.), Ἀριστοφ. Σφ. 1533· — οὕτω τὸ ἐνεργ. καὶ μέσον (ἐπὶ ταύτης τῆς ἐννοίας) σχετίζονται πρὸς ἄλληλα ἀκριβῶς ὡς τὸ **λυτρόω** καὶ **λυτρόομαι**. **3)** παραχωρῶ, παραδίδω, [θρόνον] λῦσον ἄμμιν Πινδ. Π. 4. 275. **II**, διαλύω ὅλον τι εἰς τὰ μέρη του, διαλύω, ἀπολύω, λ. ἀγορήν, διαλύω τὴν συνεδρίαν, ἀντίθετον τῷ **καθίζω**, Ἰλ. Α. 305, Ὀδ. Β. 69, κτλ.· ὡσαύτως, διαλύω τὴν ἐμπορικὴν ἀγοράν, Ξεν. Οἰκ. 12. 1· — Παθητ., λῦτο ἀγών Ἰλ. Ω. 1· ἐλύθη ἡ στρατιά, ἡ συνουσία Ξεν. Κύρ. 6. 1, 2, Πολύβ. 5. 15, 3. **2)** διαλύω, σπάρτα λέλυνται, «διαλύονται, σκέπτα δηλαδή» (Σχόλ.), Ἰλ. Β. 135· ῥαφαί .. λέλυντο ἱμάντων Ὀδ. Χ. 186· λ. τὴν σχεδίην Ἡρόδ. 4. 97· τὴν γέφυραν Ξεν. Ἀνάβ. 2. 4, 17· τὴν ἀπόφρασιν αὐτόθι 4. 2, 25. **3)** ἠθικῶς ἐπὶ σωματικῆς ἰσχύος, χαλαρώνω, δηλ. ἐξασθενῶ, καθιστῶ τι ἀσθενές, ἄτονον, λῦσέ οἱ γυῖα, κατέστησεν ἄτονα τὰ γόνατα αὐτοῦ, δηλ. τὸν ἐφύγευσε, συχν. ἐν Ἰλ.· οὕτω, γούνατα λύειν τινὶ Ἰλ. Χ. 335· ἢ τινός Ε. 176, κτλ.· ὡσαύτως, λ. μέ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

προφωνήσιμος, ον, ὁ προαγγέλλων, ἡ προφωνήσιμος (ἐξυπ. ἡμέρα), ἡ Κυριακὴ ἡ πρὸ τῆς ἀπόκρεω, ἥτις ἀγγέλλει τὴν προσέγγισιν τῆς τεσσαρακοστῆς, Βυζ.· οὕτω καὶ **προφώνησις, εως**, ἡ, αὐτόθι.

προφωσφορέω, προηγοῦμαι φέρων φῶς, Γ. Παχυμ. ἐν βίῳ Ἀνδρ. Παλ. 210D.

προφώτια, τά, ἡ παραμονὴ τῶν Φώτων, Θ. Στουδ. σ. 701, ἔκδ. Μι.

προφωτίζω, φωτίζω πρότερον, Κυριλλ. Ἱεροσ. Κατ. 18, 14, σ. 224, Εὐσ. IV, 345B.

προφώτισμα, τό, ἡ πρὸς τὸ βάπτισμα προπαρασκευή, Εὐτύχιος 2392A.

προχάζω, προχωρῶ, «προχάζοις· προβαίνοις. ἀναποδίζοις» καὶ «πρόχασον· πρόελθε» Ἡσύχ.· «προχάζοις· προβαίνοις» Φώτ.

προχαιρετίζω, χαιρετίζω πρότερον, Κ. Μανασσ. ἐν Χρον. IX, σελ. 74.

προχαιρετισμός, ὁ, τὸ προχαιρετίζειν, Κ. Μανασσ. ἐν Χρον. IX, σ. 74.

προχαίρω, χαίρω ἐκ τῶν προτέρων, Πλάτ. Φίληβ. 39D προχαρέντες Ὀρφ. Ὕμν. 85 (86). 9. **II.** ἐν τῷ γ' τῆς προστ., τὸ δὲ προκλύειν .. προχαιρέτω, ἔστω μακρὰν ἀπ' ἐμοῦ! Αἰσχύλ. Ἀγ. 251· πρβλ. **χαίρω** V. 2.

προχᾰλάω, χαλαρώνω ἐκ τῶν προτέρων, Ἀρετ. Χρον. Νούσ. Θεραπ. 1. 5.

προχαλκεύω, χαλκεύω προηγουμένως, Αἰσχύλ. Χο. 647.

προχάνη, ἡ, πρόφασις, Καλλ. εἰς Δήμ. 73, Ἀποσπ. 26.— (Ἐτυμολογεῖται κατὰ τὸν Εὐστ. 1109. 39 ἐκ τοῦ **προχαίνω** = **προφασίζομαι**).

προχάραγμα, τό, = **προκέντημα**, σχέδιον, ὑπόδειγμα, Ρήτορες (Walz) 1. 444.

προχᾰράσσω, Ἀττ. **-ττω**, χαράττω πρότερον· ὅθεν κάμνω σχεδίασμα, σχέδιον, Γρηγ. Ναζ.

προχᾰρής, ές, ὁ διδόμενος ὡς προσφορὰ εὐχαριστήριος, ἄρτος Συλλ. Ἐπιγρ. 1464.

προχαρίζομαι, χαρίζομαι πρότερον, Εἰρηναῖος 1127C.

Προχᾰρισία, ἡ, ἐπώνυμον τῆς Θέτιδος, «Προχαρισία· ἡ Θέτις οὕτω που τιμᾶται» Ἡσύχ.

προχάρισμα, τό, εὐμενὲς δῶρον, Χρησμ. Σιβ. 5. 330.

προχᾰριστήρια, τά, «προχαριστήρια, ἡμέρα ἐν ᾗ οἱ ἐν τῇ ἀρχῇ πάντες, ἀρχομένων καρπῶν φύσεσθαι, λήγοντος ἤδη τοῦ χειμῶνος, ἔθυον τῇ Ἀθηνᾷ· τῇ δὲ θυσίᾳ ὄνομα προχαριστήρια. Λυκοῦργος ἐν τῷ περὶ Ἱερωσύνης· τὴν τοίνυν ἀρχαιοτάτην θυσίαν διὰ τὴν ἄνοδον τῆς θεοῦ, ὀνομασθεῖσαν δὲ προχαριστήρια διὰ τὴν βλάστησιν τῶν καρπῶν τῶν φυομένων» Σουΐδ., πρβλ. Ἀρποκρ. ἐν λ. (ἔνθα **προσχαιρητήρια**) καὶ Α. Β. 295, 3 (ἔνθα **προσχαριστήρια**).

προχειλίδιον, τό, τὸ προέχον μέρος τοῦ χείλους, Πολυδ. Β', 90.

πρόχειλος, ον, ὁ ἔχων τὰ χείλη προέχοντα, Στράβ. 96, Λουκ. Φιλόψ. 34.

προχειμάζω, ἐπὶ τοῦ καιροῦ ἢ τῆς ἀτμοσφαιρικῆς καταστάσεως, εἶμαι θυελλώδης πρότερον, Ἀριστ. Προβλ. 26. 8, 4.

προχείμᾰσις, ἡ, πρόωρος χειμών, Πλίν. 8. 57, Veget. 4. 40.

προχειρίζω, Ἀττ. μέλλ. **-ιῶ**, βάλλω εἰς χεῖράς τινος, παραδίδω, πρ. τινὰ ἐπὶ τῷ τὴν τιμωρίαν δοῦναι Δείναρχ. 110. 8· ἔχω πρόχειρον, ἕτοιμον, τέτταρα στρατόπεδα Πολύβ. 3. 107, 10.— Παθ., ὡς ἐπὶ τὸ πλεῖστον κατὰ μετοχ., ὁ εἰς χεῖρας εἰλημμένος, τὸν προκεχειρισμένον λόγον Πλάτ. Νόμ. 643A· ἑτοῖμα καὶ προκεχειρισμένα ἀγαθὰ Δημ. 85. 7. **2)** προχειρισθέντες, προηγουμένως ἐκλεχθέντες, Πολύβ. 3. 106, 2· ὡσαύτως ὡρισμένος πρότερον, προωρισμένος, τὰ Ποπλίῳ προκεχ. στρατόπεδα ὁ αὐτ. 3. 40, 14. **II.** συνηθέστατα ὡς ἀποθ., **προχειρίζομαι**, μέλλ. **-χειριοῦμαι**· — λαμβάνω εἰς χεῖράς μου, ἑτοιμάζω, προετοιμάζω δι' ἐμαυτόν, προχειριοῦμαι κἀξετάσω τὴν οὐσίαν Ἀριστοφ. Ἐκκλ. 729· δύναμιν, στρατόπεδον, ναῦς Δημ. 45. 10, Πολύβ. 1. 16, 2, κτλ.· ἐσθῆτα Λουκ. Μισθ. Συνόντ. 14· τὴν μαλάχην, τρώγω αὐτήν, ὁ αὐτ. περὶ Ἀληθ. Ἱστ. 2. 46· τὰς ῥήσεις, τοὺς λογισμοὺς Πλούτ. 2. 396C, 813E· προτιμῶ, τὸ ἀσαφὲς Διον. Ἀλ. π. Δεινάρχ. 8. **2)** ἐκλέγω, προχειρίζεσθαι δημαγωγοὺς Ἰσοκρ. 184A, Πολύβ., κτλ.· τινὰ ἐπί τι Δημ. 773. 18· ἐπί τινι Πλουτ. Καῖσ. 58· πρός τι Πολύβ. 3. 44, 4. **3)** μετ' ἀπαρ., ἀποφασίζω νὰ πράξω, ὁ αὐτ. 3. 40, 2. **4)** συζητῶ ἢ ἐξετάζω πρῶτον, Ἀριστ. Κατηγ. 8, 31· τὰς πάντων δόξας ὁ αὐτ. ἐν Τοπ. 1. 14, 1· οὕτω καί, πρ. περί τινος ὁ αὐτ. π. Οὐρ. 1. 5, 5, πρβλ. Φυσ. 3. 1, 1, Μετεωρ. 3. 6, 14. **5)** ἐπὶ παραδείγματος πρ., προτείνω ὡς παράδειγμα, ὁ αὐτ. ἐν Προβλ. 30. 1, 5· — οὕτως ἐν τῷ παθ., ὁ αὐτ. ἐν Κατηγ. 5. 6.

προχείρισις, εως, ἡ, τὸ εἰς χεῖρας λαμβάνειν, ἐκτέλεσις, Φιλοπ. παρὰ Σουΐδ. ἐν λ. **κένησις**. **II.** ἐκλογή, Ἐκκλ.

προχειριστέον, ῥηματ. ἐπίθ. τοῦ **προχειρίζομαι**, δεῖ προχειρίζεσθαι, Νικόμαχος 96.

προχειρόομαι, Παθ., καθυποτάσσομαι πρότερον, Ἰωσήπ. Ἰουδ. Πόλ. 4. 8, 1.

πρόχειρος, ον, (χείρ) πλησίον εἰς τὰς χεῖράς τινος, πλησίον (πρβλ. **ὑποχείριος**), Ἱππ. περὶ Ἄρθρ. 788· πρόχειρα ψέλια δέρκεσθαι, πλησίον, ἐγγύς, ἕτοιμα, Αἰσχύλ. Πρ. 54· πρ. ἄλγος .. δέρκομαι Σοφ. Ἠλ. 1116· ἐπὶ ξίφους γυμνοῦ ἢ μαχαίρας, ὁ αὐτ. ἐν Φιλ. 747, Εὐρ. Ἑλ. 1564, Ἠλ. 696, Ξεν. Κύρ. 4. 2, 32· ἔβαλλον λίθοις καὶ .. ἀκοντίοις, ὡς ἕκαστός τι πρ. εἶχε Θουκ. 4. 34· τὴν ἐπιστήμην οὐκ εἶχε πρ. ἐν τῇ διανοίᾳ Πλάτ. Θεαίτ. 198D· πρ. μῦθοι ὁ αὐτ. ἐν Φαίδωνι 61B· τὰ κατὰ πάντων τῶν φιλοσοφούντων πρ. ὁ αὐτ. ἐν Ἀπολογ. 23D· εἰ οὖν σοι πρόχειρον, εἰπὲ ὁ αὐτ. ἐν Μίν. 313B· ὃ προχειρότατον ἔχω εἰπεῖν Δημ. 700. 10· τὸ προχειρότατον ποιεῖν Ἰσοκρ. 223B· τὰ πρόχειρα, πράγματα πλησίον τῶν χειρῶν, ἐγγὺς ὄντα, ἐν ἀντιθέσει πρὸς **τὰ ἄπορα** (τὰ μὴ πρόχειρα), Ἀριστ. Μετὰ τὰ Φυσ. 1, 2, 9, πρ. 9, 3, 5· τὰ προχειρότατα ὁ αὐτ. ἐν Προβλ. 20. 12. **2)** «πρόχειρος», κοινός, συνήθης, συναπτόμενον τῷ **φαῦλος**, τὰ πρ. καὶ δημόσια Πλάτ. Θεαίτ. 147A· αἱ πρ. ἡδοναὶ ὁ αὐτ. ἐν Φιλήβ. 45A. **3)** πρόχειρόν [ἐστι], εἶναι εὔκολον, μετ' ἀπαρ., ὁ αὐτ. ἐν Σοφιστ. 251B, Φιλήμων ἐν «Ἐπιδικαζομένῳ» 2· ψεύδεσθαι προχειρότατον ἁμαρτάνουσιν Λυσ. Ἀποσπ. 54· οὕτως, ἐν προχείρῳ [ἐστί], μετ' ἀπαρ., Ἀριστ. Μετεωρ. 2. 3, 3· ἐκ προχείρου, εὐκόλως, εὐχερῶς, Σέξτ. Ἐμπ. π. Μ. 6. 19. **II.** ἐπὶ προσώπων, ἕτοιμος νὰ πράξῃ τι, πρόθυμος, μετ' ἀπαρ., Σοφ. Ἠλ. 1494· οὕτω, πρ. εἰς τὸ δρᾶν κακὰ Φιλήμ. ἐν Ἀδήλ. 69· πρ. τῇ φυγῇ, ἕτοιμος πρὸς φυγήν, Εὐρ. Ἡρ. Μαιν. 161· οὕτω, πρ. γλῶττα Πολυδ. Ϛ', 120. **III.** Ἐπίρρ. **-ρως**, ἐκ τοῦ προχείρου, ἕτοιμος, ἄνευ προμελέτης, ἀποκρίνασθαι Πλάτ. Συμπ. 204D· πρ. ἔχειν περί τι Ἀριστ. Τοπ. 8. 14, 5. κτλ.· ἐπὶ τὰ πράγματα ὁρμᾶν πρ. Ἄμφις ἐν «Φιλαδέλφοις» 1. 7· μετὰ βίας, ἀπερισκέπτως, ἀφρόνως, Θεοπόμπ. Ἱστ. 249, Πολύβ. 5. 7. 2.— Συγκρ. **-οτέρως**, Πλάτ. Ἀλκ. 2. 144D· **-ότερον** Πολύβ. 1. 21, 5.

προχειρότης, -ητος, ἡ, ἑτοιμότης, Ἀρρ. Ἐπίκτ. 3. 21. 18· μάλιστα ἐν τῇ ἐξετάσει πράγματός τινος, Σέξτ. Ἐμπ. π. Μ. 1. 249.

προχειροτονέω, ἐκλέγω διὰ χειροτονίας πρότερον, Πλάτ. Νόμ. 765B, Αἰσχίν. 4. 11. **2)** ἐπὶ πραγμάτων, διὰ χειροτονίας ἀποφασίζω προηγουμένως ἂν πρέπει νὰ γίνῃ δεκτόν τι, Δημ. 708. 18.

προχειροτόνητος ἐν ἀποστόλοις, ὁ προχειροτονηθείς, Θ. Στουδ. σ. 704, ἔκδ. Μι.

προχειροτονία, ἡ, «ἔοικεν Ἀθήνησι τοιοῦτό τι γίνεσθαι, ὁπόταν τῆς βουλῆς προβουλευσάσης εἰσφέρηται εἰς τὸν δῆμον ἡ γνώμη· πρότερον γίνεται χειροτονία ἐν τῇ ἐκκλησίᾳ πότερον δοκεῖ περὶ τῶν προβουλευθέντων σκέψασθαι τὸν δῆμον ἢ ἀρκεῖ τὸ προβούλευμα» Ἀρποκρ., Ἀριστ. Ἀθην. Πολ. σ. 63, 16 τοῦ αὐτ. Ἀποσπ. 396. —Ἴδε Π. Σ. Φωτιάδου Συμβολὰς εἰς τὸ Ἀττικὸν Δίκαιον ἐν Ἀθηνᾶς τόμ. ΠΓ', σ. 45 κέξ.

προχειρουργέω, ἐκτελῶ προηγουμένως, Ἰωσήπ. Ἰουδ. Πόλ. 4. 8, 3.

προχέριον, τό, τὸ κοινῶς λεγόμενον «χεροκάλαθον», Κασσιαν. I, 1131A.

πρόχευμα, τό, (προχέω) τὸ προχεόμενον, καθίζημα, Ἀριστ. π. Ζ. Μορ. 2. 1, 22· πρβλ. **πρόχυσις**.

προχεύω, ποιητ. τύπος ἰσοδύναμος τῷ ἑπομ., Διον. Π. 52.

προχέω, μέλλ. **-χεῶ**, χέω πρὸς τὰ ἐμπρός, πρ. ῥόον εἰς ἅλα δῖαν, ἐπὶ ποταμοῦ, Ἰλ. Φ. 219, πρβλ. Ὕμν. Ὁμηρ. εἰς Ἀπόλλ. 241· οὕτω, ποταμοὶ δ' ἀμέραισι μὲν προχέοντι ῥόον καπνοῦ (περὶ τῆς Αἴτνης) Πινδ. Π. 1. 43· τρὶς ὕδατος προχέειν, ἐμβάλλειν πρῶτον τρία μέρη ὕδατος, Ἡσ. Ἔργ. κ. Ἡμ. 594· σπονδὰς προχέαι Ἡρόδ. 7. 192, Κριτίας 17·— μεταφορ., πρ. ἀοιδὴν διάφ. γραφ. Ἡσ. Θεογ. 83· ὄπα γλυκεῖαν Πινδ. Π. 10. 87, πρβλ. Συλλ. Ἐπιγρ. 401· λίγειαν ὀμφὴν Ἀνακρεόντ. 41. 11· πρβλ. **χέω**·— Παθ., ἐκχέομαι πρὸς τὰ ἐμπρός, «χύνομαι». ἐπὶ μεγάλου πλήθους ἀνθρώπων ἐκχυνομένων ἐπὶ πεδιάδος καὶ καλυπτόντων αὐτήν, ἐς πεδίον προχέοντο Ἰλ. Β. 465, πρβλ. Ο. 360., Φ. 6· θυσία .. προχυθεῖσα Εὐρ. Ἀποσπ. 904· ἡ κυριολεκτικὴ σημασ. τοῦ παθ. ἀπαντᾷ μόνον παρὰ μεταγενεστ., Ὀππ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Κυν. 2. 39, Δίων Κ., κτλ.· προχεῖται τὰ λεγόμενα Λογγῖν. 19·— τὰς προκεχυμένας ἄκρας, τὰς μακρὰν προεκτεινομένας, Φίλων 1. 14. Πρβλ. **προρέω** II.

προχθὲς, Ἐπίρρ., ὡς καὶ νῦν, Σχόλ. εἰς Φιλοστρ. Ἡρ. σ. 578 Boisson.· **προὐχθὲς** (δηλ. προεχθὲς) Boisson. Ἀνέκδ. 4. 398. Ὁ Ζηκιδ. ἐν Χρ. Λεξ. γράφει: «**πρόχθες** οὐχὶ **προχθές**».

προχθεσινός, ή, όν, ὡς καὶ νῦν, Ἐτυμολ. Μέγ. 691. 36.— Ἴδε Κόντου Γλωσσ. Παρατηρ. σ. 335.

προχλιαίνω, χλιαίνω πρότερον, προκεχλιασμένος ἐλαίῳ ἐμβρυουλικὸς Σωρ. Ἐφ. ἔκδ. Erm. σ. 288.

πρόχλωρος, ον, πρασινωπός, ὑποπράσινος, Σχόλ. εἰς Ἀριστοφ. Πλ. 204. Ὁ Δινδ. προτείνει **ὑπόχλ-**.

πρόχνυ, Ἐπίρρ., (πρὸ γόνυ) ὡς τὸ **γνύξ**, μὲ τὰ γόνατα πρὸς τὰ ἔμπρός, ὅ ἐστι «γονατιστά», πρόχνυ καθεζομένη, πίπτουσα εἰς τὰ γόνατα, Ἰλ. Ι. 570· μεταφορ., ὥς κεν .. ἀπόλωνται πρόχνυ κακῶς, ὅπως ἀπολεσθῶσιν παντάπασι κακῶς, «παντελῶς, πρόρριζοι» (Σχόλ.), Φ. 460· οὕτω, πρόχνυ ὀλέσθαι Ὀδ. Κ. 69· ἀκριβῶς ὡς ὁ Ἡρόδ. χρῆται τῷ ἐς γόνυ βαλεῖν τινα, 6. 27· πρβλ. **γόνυ** Ι. 5.— Ἐξ ἀγνοίας τῆς μεταφορᾶς τὸ **πρόχνυ** παρὰ μεταγεν. ἦν ἐν χρήσει ὡς = **πάνυ**, Ἀπολλ. Ρόδ. Α. 1118, Β. 249.

προχοὴ, ἡ, (προχέω) ποιητικ. ὄνομα, σχεδὸν ἀείποτε ἐν τῷ πληθ., αἱ ἐκβολαὶ (ποταμοῦ), ἐπὶ προχοῇσι διιπετέος ποταμοῖο Ἰλ. Ν. 263· ἐς ποταμοῦ προχοὰς Ὀδ. Ε. 453· ἐν προχοῇς ποταμοῦ Α. 242· ἐν προχοῇς .. Ὠκεανοῖο (διότι ὁ Ὠκεανὸς ἦν ποταμὸς καθ' Ὅμηρον) Υ. 65· Τριτωνίδος ἐν προχοαῖς λίμνας Πινδ. Π. 4. 35, πρβλ. Ἀνακρ. 27, Σιμωνίδ. 180, Αἰσχύλ. Ἱκέτ. 1025, Ἀποσπ. 795, Ἀριστοφ. Νεφ. 272· θερμαῖς ὕδατος μαλακοῦ πρ. Αἰσχύλ. Ἀποσπ. 192·— τὸ ἑνικὸν παρ' Ἡσ. Ἔργ. κ. Ἡμ. 755. **2)** = **πρόχυσις**, ἀκρωτήριον, Ἀρχέστρ. παρ' Ἀθην. 314Ε. **II.** σπονδή, λοιβή, Ἑλλ. Ἐπιγράμμ. 619. 4, πρβλ. 312. 16.

προχόη, ἡ, = **πρόχοος**, Ἀπολλ. Ρόδ. Α. 456, Ἀνθολ. Π. 6. 292, Ἀλκίφρων 3. 47· περὶ τοῦ τονισμοῦ ἴδε Λοβεκ Παραλ. 399.

προχοΐδιον, Ἀττ. **προχοΐδιον**, τό, ὑποκορ. τοῦ **πρόχοος**, Κρατῖνος ἐν «Πυτίνῃ» 16, Στράττις ἐν «Λημνομήδᾳ» 1, Στράβ. 812, κτλ.· πρβλ. Πόρσ. προλεγ. εἰς Εὐρ. Ἑκάβ. σ. ἰ.

προχοΐς, ΐδος, ἡ, ὑποκορ. τοῦ **πρόχοος**, = **ἀμίς**, οὐροδοχεῖον, Ξεν. Κύρ. 8. 8, 10, πρβλ. Ἀθήν. 469C. **II.** = **ἐπίχυσις**, Α. Β. 294, 32.

πρόχοος, Ἀττ. συνῃρ. **πρόχους**, ἡ· ἑτερόκλ. δοτικ. πληθυν. **πρόχουσι**, ὡς τὸ **βοῦς**, **βουσί**, ὡσεὶ ἦν τῆς γ' κλίσ. (ἴδε Δινδ. εἰς Εὐρ. Ἴωνα 435, Ἀριστοφ. Νεφ. 272, Pierg. εἰς Μοῖρ. α. 269)· αἱτ. πληθ. **πρόχους**, Ξεν. Κύρ. 5. 2, 7, Αἰλ. π. Ζ. 5, 23· (προχέω). Ὑδροφόρον ἀγγεῖον, ὑδρία, λάγηνος, «κανάτι», μάλιστα δὲ τὸ δι' οὗ ἐπέχεον ὕδωρ πρὸς νίψιν τῶν χειρῶν, Ἰλ. Ω. 304, Ὀδ. Α. 136, Δ. 52, Ο 135, Ἡσ. Θ. 785, Σοφ. Ἀντ. 430, Εὐρ. Ἴων 435, κτλ.·— ὡσαύτως ἀγγεῖον οἰνηρόν, ἐξ οὗ ὁ οἰνοχόος ἐγχέει εἰς τὰ ποτήρια, Ὀδ. Σ. 397·— Θεσσαλ. ἀντὶ **ὄλπη**, Κλείταρχος παρ' Ἀθην. 495C· ἴδε **ὄλπη**. **II.** ἐν Σικελίᾳ μέτρον ὑγρῶν, Συλλ. Ἐπιγρ. 5641, κτλ.

προχορεύω, χορεύω πρῶτος ἐν χορῷ, πρ. κῶμον, προεξάρχω, κώμου ἢ ὁμίλου ἑορταστικοῦ, Εὐρ. Φοίν. 797.

προχόω, ἰσοδύναμος ἐνεστ. τοῦ **προχώννυμι**, ἐπισωρεύω ἐμπρός, χῶμα Πλάτ. Κριτ. 111B, πρβλ. Ἀριστείδ. 1. 128.

προχράομαι, ἀποθ., χρῶμαι πρότερον, Ἀριστ. π. Ξενοφ. 1. 8· ἴσως **προσχρ-**.

προχρεία, ἡ, = **ἀφορμή**, κεφάλαιον πρὸς ἐμποροικὰς ἐπιχειρήσεις, Α. Β. 472, 7, ἐν λέξ. **ἀφορμή**. — Ἴδε Κόντου Κριτικὰς καὶ Γραμματικὰς Παρατηρήσεις ἐν Ἀθηνᾶς τόμ. Ζ', σ. 28.

προχρηματίζω, χρηματίζω, κάμνω ἐμπορικὰς ἐργασίας πρότερον, Ραγκαβ. Ἑλλ. Ἀρχ. 1. 250. 55. **II.** προφητεύω, Μεθόδ. 400A.

προχρησμῳδέω, χρησμῳδῶ πρότερον, Τζέτζ. Ἱστ. 8, 1002.

προχρηστικῶς, Ἐπίρρ., κατὰ προτέραν χρῆσιν, Ἐπιφάν. II, 377A.

προχρίω, [ῑ], χρίω, ἀλείφω πρότερον, πρ. τί τινι, ἀλείφω ἢ τρίβω μέ τι, Σοφ. Τρ. 696, πρβλ. Λουκ. Ἀλέξ. 21·— ῥημ. ἐπίθ. **προχριστέον**, Ροῦρ. σ. 241, ἔκδ. Matth.

προχρονέω, προηγοῦμαι κατὰ χρόνον, εἶμαι πρόχρονος, Κλήμ. Ἀλ. 932.

προχρόνιος, ον, = τῷ ἑπομ., Δίδ. Ἀλ. 301B, Γελάσ. 1293A.

πρόχρονος, ον, ὁ τῶν προτέρων χρόνων, εἰς προτέρους χρόνους ἀνήκων, πράγματα Λουκ. περὶ Ὀρχ. 80.

πρόχυμα, τό, (προχέω) οἶνος ἐκρυεὶς ἐκ τῆς σταφυλῆς ἄνευ πιέσεως, πρότροπος, Λατ. vinum protropum, Γεωπ. 6. 16, 1. **II.** = **πρόχοος**, Μοῖρ. 422. **III.** ἐν τῇ οἰκοδομικῇ, δοκὸς προεξέχουσα, Ἀρχ. Μαθ.

πρόχυσις, ἡ, (προχέω), ἔκχυσις, πρ. τῆς γῆς, κατάθεσις ἰλύος ἐκ τοῦ ὕδατος, γῆ σχηματισθεῖσα ἐκ προσχώσεως, Λατ. alluvies, Ἡρόδ. 2, 5 πρ. ἐξ Αἰθιοπίης κατενηνειγμένην ὑπὸ τοῦ ποταμοῦ αὐτόθι 12· πρ. ἰλυόεσσα Ὀππ. Ἀλ. 1. 116· παρ' Ἡρόδ. 1. 160, οὐλὰς κριθῶν πρόχυσιν ἐποιέετο (πρβλ· τὸ ἑπόμ.), τὸ πρόχυσιν ἐποιέετο, δέον νὰ ληφθῇ ὡς ἁπλοῦν ῥῆμα, = **προέχεε**· — ἐν τοῖς Κλημεντείοις 108A **πρόχυσις** = **λοιβή**, **σπονδή**. **II.** μεταφ., ἔκχυσις, ἐξόρμησις, τῶν παθῶν Λογγῖν. 9. 13.

προχύται [ῡ], (ἐξυπακ. κριθαί), αἱ = **οὐλυχύται**, Εὐρ. Ἡλ. 803, Ι. Α. 1112, 1472, Ἀπολλ. Ρόδ. Α. 425. **II.** ἄνθη ἢ στέφανοι ῥιπτόμενοι εἰς ἀνθρώπους ἀγαπητοὺς παρὰ τῷ λαῷ εἰς ἔνδειξιν τιμῆς, Λατ. missilia, Πλουτ. Δίων 29.

προχύτης [ῡ], ου, ὁ, = **πρόχοος**, λάγηνος, «κανάτι», Ἴων (Ἀποσπ. 2. 3) παρ' Ἀθην. 463B, πρβλ. 496C· μάλιστα ὑδρία ἐξ ἧς ἔχυνον ἀγνιστικὰς σπονδάς, Εὐρ. Ι. Α. 955.— Ἴδε Κόντου Γλωσσ. Παρατηρ. σ. 431.

προχύτικός, ή, όν, ὁ χρησιμεύων πρὸς ἔκχυσιν, ἀγγεῖον Σχόλ. εἰς Ὀδ. Α. 136.

προχύτος, ή, όν, (ἢ κατ' ἄλλους **πρόχυτος**, η, ον,), κεχυμένος ἐμπρός, σχηματισθεὶς ἐκ προχύσεως: — Προχύτη νῆσος, ἡ νῆσος Procida ἐν τῷ κόλπῳ τῆς Νεαπόλεως, σχηματισθεῖσα δι' ἐκρήξεως τοῦ Βεσουβίου ('provolutis montibus insulam extitisse', κατὰ Πλίνιον), Δίων. Ἀλ. 1. 53.— Κατὰ Στράβ. 274, «τοῦ μὲν οὖν Μισηνοῦ πρόκειται νῆσος ἡ Προχύτη· Πιθηκουσσῶν δ' ἐστὶν ἀπόσπασμα» καὶ 258: «καὶ γὰρ ἡ Προχύτη καὶ αἱ Πιθηκοῦσσαι, ἀποσπάσματα τῆς Ἠπείρου».

πρόχωλος, ον, πολὺ χωλός, ὁλωσδιόλου χωλός, Λουκ. Ὠκύπ. 146.

πρόχωμα, τό, ὡς καὶ νῦν, γῆ συσσεσωρευμένη ἔμπροσθεν τόπου τινὸς ὅπως ἐμποδίσῃ τι, φραγμός, Ἐπιγρ. Ὀρχομ. ἐν Συλλ. Ἐπιγρ. 1569C., διάφ. γραφ. ἐν Στράβ. ἀντὶ **προσχ-**.

προχῶναι, αἱ, οἱ γλουτοί, Λατ. coccygis (πρβλ. **κοχώνη**), Ἀρχιππ. ἐν «Ῥίνωνι» 2.

προχωνεύω, χωνεύω, ἀπαλύνω, μαλακώνω, προηγουμένως, προχωνεύουσιν ὕδατι τὸν πηλὸν Κύριλλ. Ἱερόσ. σ. 127 (1891).

προχώννυμι ἢ **-ύω**, μέλλ. **-χώσω**, πρκμ. **-κέχωκα**· — σχηματίζω διὰ προχώσεων πρότερον, τὰς νήσους Ἀριστ. π. Θαυμασ. 81. **II.** διὰ καθιζήματος γεμίζω τι, θάλατταν Ἀριστείδ. 1, σ. 21. Πρβλ. **προχόω**.

προχωρέω, χωρῶ πρὸς τὰ ἔμπρός, προχωρῶ, πρὸς ἐμὴν χεῖρα προχωρῶν πρὸς τὸ μέρος ὅπου σε ὁδηγεῖ ἡ χείρ μου, Σοφ. Φιλ. 148, κτλ.· ἐπὶ στρατευμάτων, Θουκ. 2. 12., 3. 111, κτλ.· πρ. καὶ οὐ μένει Πλάτ. Φίληβ. 24D· ἐπὶ περιττωμάτων, ἐκκενοῦμαι, Ἀριστ. π. τὰ Ζ. Ἱστ. 8, 5, 6· οἶκος εἰς βορρᾶν προκεχωρηκώς, τετραμμένος πρὸς βορρᾶν, Λατ. vergens ad .., Λουκ. Ἱππ. 7·— ἐπὶ χρόνου, τοῦ αἰῶνος προκεχωρηκότος Ξενοφ. Κύρ. 8. 7, 1, πρβλ. Ἡρωδιαν. 2. 2, 3, κτλ.· οὕτω, προὐχώρει ὁ πότος Ξεν. Ἀν. 7. 3. 26, πρβλ. Λουκ. Ἑταιρ. Διαλ. 15. 2·— ἐπὶ νομισμάτων, κυκλοφορῶ, «περνῶ», Σέξτ. Ἐμπ. π. Μ. 1. 178. **II.** μεταφορ., ἐπὶ πολιτειῶν, πολέμων, ἐπιχειρήσεων, κτλ., προβαίνω, προχωρῶ, φθάνω, συχνάκις μετ' ἄλλης τινὸς λέξεως δηλούσης καλὴν ἢ κακὴν ἔκβασιν, δόξας εὖ προχωρῆσαι δόμος Εὐρ. Ἡρακλ. 486 τὰ Περσέων πρήγματα ἐς ὃ δυνάμενος προκεχωρήκεε Ἡρόδ. 7. 50, 2· προχωρησάντων ἐπὶ μέγα τῶν πραγμάτων Θουκ. 1. 16· οὕτως ὠμὴ πρ. ἡ στάσις ὁ αὐτ. 3. 81· αὐτῷ πρ. τὰ πράγματα ἢ ἐβούλετο ὁ αὐτ. 1. 74· τούτων προκεχωρηκότων ὡς ἐβούλετο Ξεν. Ἑλλ. 5. 2, 1, πρβλ. 7. 2, 1, Κύρ. 2. 3, 16·— ἀπολ., πηγαίνω καλά, εὐτυχῶ, οὔ τι προχωρέειν οἶδν τε ἔσται Ἡρόδ. 8. 108· ἐπεὶ τέ σφι .., οὐ προεχώρεε ἡ κάτοδος ὁ αὐτ. 5. 62, πρβλ. 7. 50, 2· τὸ ἔργον πρ. Θουκ. 8. 68· τὰ πλείω αὐτοῖς προκεχωρήκει ὁ αὐτ. 3. 73, πρβλ. 6. 103· τὰ νῦν προχωρήσαντα, αἱ παροῦσαι ἐπιτυχίαι ὑμῶν, ὁ αὐτ. 4. 18· ἐπὶ αἰώνων καὶ τῶν τοιούτων, τὰ διαβατήρια αὐτοῖς οὐ πρ. ὁ αὐτ. 5. 54· ἴσως ἂν τὰ ἱερὰ μᾶλλον προχωροίη ὑμῖν Ξεν. Ἀνάβ. 6. 2, 21·— σπανίως ἐπὶ ἀπαυτυχίας, παρὰ δόξαν αὐτοῖς πρ. τῶν πραγμάτων Πολύβ. 5. 29, 1· τὸ δ' εἰς τοὐναντίον πρ. Λουκ. Ἀλέξ. 36 (ἔνθα ὁ Cobet **περιεχώρει**). **2)** ἄπροσ., προχωρεῖ μοι, «πάει καλὰ ἡ δουλειά», ἐπιτυγχάνω, συνήθως μετ' ἀρνήσ., ὡς οἱ δόλῳ οὐ προεχώρει, ὅτε δὲν ἠδύνατο νὰ ἐπιτύχῃ διὰ δόλου, Ἡρόδ. 1. 205, πρβλ. 84, Θουκ. 1. 109, κτλ.· οὐ προὐχώρει, ἢ προσεδέχοντο, τὰ πράγματα δὲν ἀπέβαινον ἐπιτυχῶς, καθὼς περιέμενον, Θουκ. 3. 18· μετ' ἀπαρ., ἢν μὴ προχωρήσῃ .. ἑκάστῳ .. ἀπελθεῖν, ἂν δὲν εἶναι δυνατὸν .., ὁ αὐτ. 4. 59· ῥίψαντες ὡς ἑκάστοις προὐχώρει (ἐξυπακ. ῥῖψαι) .. Ἀρρ. Ἀν. 1. 1, 12· οὕτω, ἡνίκ' ἂν ἑκάστῳ πρ. Ξενοφ. Κύρ. 1. 2, 4· ὁπόσα σοι προχωρεῖ, ὅσα σοι εἶναι εὔκολον, ὁ αὐτ. 3. 2, 29, πρβλ. Schneid. Αν. 1. 9, 13·— ἀπολ. ἐν τῇ μετοχ., προκεχωρηκότων τοῖς Λακεδαιμονίοις, ὅτε τὰ πράγματα εἶχον προχωρήσῃ καλῶς δι' αὐτούς, ὁ αὐτ. ἐν Ἑλλ. 5. 3. 27. **3)** μεταγεν. ἐπὶ προσώπων, προβαίνω, προχωρῶ, ἐπὶ μέγα πρ. Λουκ. Νεκρ. Διάλ. 12, 2· ἐπὶ ὑπερβολῆς, ἐς πᾶν τροφῆς πρ. Δίων Κ. 39, 37, πρβλ. 48, 1· ἐς τοῦτο ὥστε .., ὁ αὐτ. 73, 3· εἰς τοσοῦτον μανίας, ὡς .., Ἡρῳδιαν. 1. 15. **III.** προχωρῶ, προβαίνω, ὅπως λαλήσω,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

προκεχωρηκότα (ἔνθα νῦν προκεχειρικότα) τῶν ἄλλων Δείναρχ. κατὰ Φιλοκλ. 110 (14).

προχώρημα, τό, διαχώρημα, περίττωμα, ἀποπάτημα, Ἑβδ. (Ἰεζεκ. ΛΒ', 6), Ὠριγέν.

προχώρησις, ἡ, τὸ προχωρεῖν, προβαίνειν, εἴς τι Ἱππ. π. Ἀγμ. 763· πρόοδος, ἡ διὰ τῶν ἀσωμάτων .. τὴν προχώρησιν ποιουμένη (φιλοσοφία) Ἰαμβλ. Προτρ. σ. 354 ἔκδ. Kiessl.

προχωρητέον, ῥημ. ἐπίθ. τοῦ **προχωρῶ**, δεῖ προχωρεῖν, Γαλην. τ. 19, σ. 667, 16.

προχωρητικός, ή, όν, = **προφορικός**, Ἰω. Αυδ. περὶ Μην. 4. 53.

πρόχωσις, ἡ, συχν. διάφ. γραφ. ἀντὶ **πρόσχωσις**, π.χ. ἐν Φιλοστρ. 606.

προψάλλω, κρούω τὴν κιθάραν πρότερον, καὶ **πρόψαλμα**, τό, προοίμιον ψαλμοῦ.— Κατὰ τὸν Φιλόπονον (εἰς Ἀριστ. Ἀναλ. 136) «τερετίσματα καλοῦνται τὰ προψάλματα τῶν κιθαρῳδῶν» (ἔνθα ὁ κῶδ. προδιαψηλαφήματα).

προψελλίζω, ψελλίζω πρότερον, Γρηγ. Νύσσ. τ. 1, σ. 861B.

προψηλᾰφάω, ψηλαφῶ προηγουμένως, Παῦλ. Αἰγ. 4. 1·— **προψηλάφημα**, τό, προοίμιον, Πρόκλ. εἰς Πλάτ. Τίμ. 108, πρβλ. **πρόψαλμα**.

προψηνίζω, ψηνίζω, ἐρινάζω πρότερον, (πρβλ. **ὀλυνθάζω**), Ἐτυμ. Μέγ. 818. 29.

προψηφίζομαι, ψηφίζομαι, ἀποφασίζω πρότερον· μετοχ. πρκμ. μὲ σημασ. παθ., τὰ ἐπινίκια τὰ προεψηφισμένα Δίων Κ. 43. 14, Συλλ. Ἐπιγρ. 3597b, 4380 n² (προσθῆκαι).

προψῐθύρίζω, ψιθυρίζω πρότερον, Εὐμάθ. σ. 81.

προψυχρίζω, = τῷ ἐπομ., ἐπὶ οἴνου, οἶνος προεψυχρισμένος· οὕτως γὰρ ὀνομάζειν ἔθος ἐστὶ τοῖς ἰατροῖς τοὺς ἐν ὕδατι ψυχροτάτῳ προεψυγμένους Γαλην. VI, 438F. 439A, Charterius, Lutetiae 1979.

προψύχω [ῡ], ψύχω, καθιστῶ τι ψυχρὸν πρότερον, Πλούτ. 2. 690F (κ. ἄλλ. **περιψ**·), Γαλην.

προῳδικός, ή, όν, ὁ ἀνήκων ἢ ἁρμόζων εἰς **προῳδόν**, Σχόλ. εἰς Ἀριστοφ. Ἀχ. 1143, Ἡφαιστ.

προῳδός, ἡ, (ὠδή) (ἀπὸ τοῦ **προᾴδεσθαι**) Ῥητ. (Walz) τ. 6, σ. 128.15), «προῳδὸς (πρόῳδος τὸ κείμενον·)· μέλος πρῶτον μεμελισμένον ἐκ κωμῳδίας» Ἐτυμ. Μέγ. σ. 691, 49, Σχόλ. εἰς Ἀριστοφ. Ὄρν. 1372. **II**. στίχος βραχὺς πρὸ μακροῦ, ἐν ἀντιθέσει πρὸς τὸ **ἐπῳδός**, Ἡφαιστ. σ. 130.

προώδων, «ὁ τοὺς ὀδόντας ἐξωτέρω ἔχων τοῦ δέοντος» Εὐστ. 1872. 33, Φώτ., Α. Β. 58. 21, πρβλ. **προόδους**.

προωθέω, μέλλ. **-ωθήσω**, καὶ **-ώσω**· ἀόρ. **προέωσα**, συνηρ. μετοχ. **πρώσας** Ἀνθ. Π. 12. 206, Λουκ. Λούκ. ἢ Ὄν. 9.10. Ὠθῶ πρὸς τὰ ἔμπρός, «σπρώχνω» ἢ ἐπείγω, «βιάζω», Πλάτ. Φαίδων 84D, Ἀριστ. π. τὰ Ζ. Ἱστ. 9. 6, 1, κ. ἄλλ. βιαίως πρ. τινὰ ἐπί τι Χρύσιππ. παρὰ Πλουτ. 2. 450C· πρ. αὐτόν, ὁρμῶ πρὸς τὰ ἔμπρός, ἐφορμῶ, Ξεν. Κυν. 10, 10. **II**. ἀπωθῶ, ὠθῶ μακράν, ὅρος παλαιστικός, Λουκ. ἔνθ' ἀνωτ.

προώλης, ες, (ὄλλυμι) κατεστραμμένος προηγουμένως, ἄξιος νὰ χαθῇ κακὸς κακῶς προώρως, ἐξώλης καὶ πρ. (ἴδε ἐξώλης) Δημ. 395. 7, πρβλ. 332. 22· ἄβιος καὶ πρ. σὺν τῷ σπέρματι ἀποθάνοι Συλλ. Ἐπιγρ. 3915. 47, πρβλ. Σουΐδ. ἐν λ. **σοβαρόν**.

προωμοσία, ἡ, «προωμοσία μὲν ὅρκος ὃν ὁ κατήγορος προσαμύνει ἢ μὴν ἀληθῆ κατηγορεῖν» Πολυδ. Η', 55, πρβλ. **ἀντωμοσία**.

προωνέομαι, ὠνοῦμαι, ἀγοράζω προηγουμένως, Συλλ. Ἐπιγρ. 2483, 248, Γαλην. τ. 14, σ. 68, 16.

προωνύμιον, τό, (ὄνομα) τὸ τῶν Ρωμαίων praenomen, δηλ. τὸ πρῶτον (τὸ κύριον) ὄνομα, ὅπερ παρὰ Ρωμαίοις δὲν ἐγράφετο ὁλόκληρον, ὡς π. χ. Gn. Pompeio Γναίῳ Πομπηίῳ, Γλωσσ.

προωνῠμος, ον, (ὄνομα) ἔχων προωνύμιον, Νόνν. Δ. 17. 397, Εὐαγγ. κ. Ἰω. 9. 7.

προωραΐζομαι, μέσ., ἐξωραΐζομαι πρότερον, Ἐκκλ.

προώριος, ον, = **πρόωρος**, Νόνν. Εὐαγγ. κ. Ἰω. 3. 17, κτλ.

προωρισμένως, Ἐπίρρ., ἐκ τῶν προτέρων ὡρισμένως, Κλήμ. Ἀλ. 778.

πρόωρος, ον, (ὥρα) ὡς καὶ νῦν, ὁ πρὸ τῆς ὥρας, ὁ πρὸ τοῦ καιροῦ, Πλούτ. 2. 101F, Ἀρετ. π. αἰτ. Χρον. Παθ. 2. 13, Ἀνθ. Π. 7. 643., 13. 27. κτλ. Ἐπίρρ. **-ρον**, Λουκ. Ἔρωτ. 21.

πρώωσις, ἡ, (προωθέω) τὸ ὠθεῖν πρὸς τὰ ἔμπρὸς ἢ μακράν, Ἀριστ. π. Οὐρανοῦ 2. 14, 15, π. Κόσμ. 4, 31, Θεόφρ., κλπ.· συνηρ. **πρῶσις** παρ' Ἡσυχ.

προωσμός, οῦ, ὁ, = **πρόωσις**, Ἀρχ. Μαθ. 250.

προώστης, ου, ὁ, (προωθέω) δοκὸς προεξέχουσα τοῦ τείχους τετειχισμένου τόπου, ὡς τὸ **κεραία**, παρὰ Θουκ., Αἰν. Τακτ. 32. —Ἴδε Κόντου Γλωσσ. Παρατηρ. σ. 433.

προωστικός, ή, όν, ὁ ἀνήκων ἢ ἁρμόζων εἰς πρόωσιν, ἐκκενωτικός, Γαλην. τ. 2, σ. 148., 9, 160, 4, κτλ. — Ἐπίρρ. **-κῶς**, Σέξτ. Ἐμπ. π. Μ. 10. 83.

προωφελέω, ὠφελῶ, βοηθῶ πρότερον, Φίλων 1. 186, Εὐσ., κλπ.

πρῠλέες, έων, οἱ, πεζοὶ ὁπλῖται, αὐτοὶ δὲ πρυλέες σὺν τεύχεσι θωρηχθέντες, ἐν ἀντιθέσει πρὸς τοὺς ἡγεμόνας τοὺς μαχομένους ἀπὸ τοῦ ἅρματος, Ἰλ. Λ. 49, Μ. 77· Λαοδάμαντα, ἡγεμόνα πρυλέων Ο. 517· Ἄρης .. πρυλέεσσι κελεύων Ἡσιόδ. Ἀσπ. Ἡρ. 193·— ὁ Ἕρμαν. ἑρμηνεύει τὴν λέξιν ὡς = **πρόμαχοι** (πρβλ. **πρύτανις**), Πονημ. 4. 286-291· καὶ τὸ ἐν Ἰλ. Φ. 90 (πρώτοισι μετὰ πρυλέεσσι) ὑποστηρίζει μέχρι τινὸς τὴν ἑρμηνείαν ταύτην. **2)** παρὰ μεταγεν. ὡς ἐπίθ., κατὰ πλήθη, πυκνοί, πάμπολλοι, ὡς οἱ πεζοὶ στρατιῶται, Ὀππ. Κυνηγ. 3. 124.— Πρβλ. τὸ ἑπόμ.

πρῠλῐς [ῡ], **εως, ἡ**, ὄρχησις ἐν ὅπλοις, ἐνόπλιος ὄρχησις, Καλλ. εἰς Δία 52, εἰς Ἄρτ. 240· παρὰ τοῖς Κρησὶ συνώνυμον τῷ **πυρρίχη** κατὰ τὸν Ἀριστ. ἐν Ἀποσπ. 476. (Περὶ τῆς ἐτυμολογίας ἴδε Heins. Sil. Ital 3. 347).

πρύμνᾰ, ἡ, Ἰωνικ. καὶ Ἐπικ. **πρύμνη** (οὗτος ὁ τύπος ἦν ἐν χρήσει καὶ παρὰ τοῖς Ἀττικοῖς ποιηταῖς χάριν τοῦ μέτρου, Σοφ. Φιλ. 482, Ἀριστοφ. Σφ. 399, ἀκριβῶς ὡς **τόλμη** ἀντὶ **τόλμα**, πρβλ. Α. Β. 66. 23, Elmsl. Heracl. 19)· — κυρίως θηλ. τοῦ **πρυμνός** (ὑπονοουμένου τοῦ ναῦς), ὡς καὶ νῦν, τὸ ὄπισθεν μέρος πλοίου, Λατ. puppis, ἀντίθετον τῷ **πρῷρα**, Ὅμηρ., κλπ.· ὁ Ὅμ. ἐνίοτε ἔχει καὶ τὸ πλῆρες πρύμνη νηῦς (ὅτε καὶ θὰ ἤρμοζεν ὁ τονισμὸς **πρυμνή**, ὀξυτ. ὡς ἐν τῷ **πρυμνός**), νηῒ πάρα πρύμνῃ Ἰλ. Ζ. 383, Κ. 35, κτλ.· ἐπὶ πρύμνῃ .. νηῒ Λ. 600· νηῒ ἐνὶ πρ. Ὀδ. Β. 417· καὶ ἐν τῷ πληθ. νηυσὶν ἐπὶ πρύμνῃσιν Ἰλ. Μ. 403. ἐπὶ πρ. νέεσσι Ν. 333· ἐπὶ πρύμνῃσιν (πρηγεῖται τὸ οὐσιαστ. ναῦφι) Θ. 475· ἂν καὶ ὑπάρχει παρ' αὐτῷ καὶ πρύμνη νηὸς Ὀδ. Ν. 84, πρβλ. Πλάτ. Φαίδων 58A,C· ἐν ᾧ τὸ νηὸς ἄπο πρύμνης (Ἰλ. Ο. 435, πρβλ. 704, Ὀδ. Ν. 75) εὑρίσκεται νὰ ληφθῇ καθ' ἑκάτερον τρόπον. Ἰδιαίτεραι φράσεις:— ἐπὶ πρύμναν ἀνακρούομαι, κάμνω τὸ πλοῖον νὰ ὀπισθοχωρῇ χωρὶς νὰ στραφῇ (ἴδε ἐν λέξ. **ἀνακρούω** καὶ **κρούω**)· κατὰ Φώτ.: «πρύμναν ἀνακρούεσθαί ἐστι τὸ κατ' ὀλίγον ὑπαναχωρεῖν μὴ στρέψαντες τὸ πλοῖον· ὁ γὰρ οὕτως ἀναχωρῶν ἐπὶ τὴν πρύμναν κωπηλατεῖ· τοῦτο δὲ ποιοῦσιν, ἵνα δόξωσι μὴ φανερῶς φεύγειν, κατ' ὀλίγον ὑπαπιόντες»· οὕτω, χωρεῖν πρύμναν, ὀπισθοχωρεῖν, ὑποχωρεῖν, Εὐρ. Ἀνδρ. 1120· ἐπείγει κατὰ πρύμναν, ἐπὶ οὐρίου ἀνέμου, Σοφ. Φιλ. 1451· κατὰ πρ. ἵσταται τὸ πνεῦμα Θουκ. 2. 97· ἴδε ἐν λ. **πρῷρα**. — Τὰ πλοῖα συνήθως προσεδένοντο ἢ ἀνειλκύοντο εἰς τὴν ξηρὰν ἀπὸ τῆς πρύμνης. Ἰλ. Ξ. 32, πρβλ. Λ. 409, κτλ.· ὅθεν, πρύμνας λύσαι Εὐρ. Ἑκ. 539· πρβλ. **πρυμνήσιος, πρυμνήτης, πρυμνοῦχος**. **2)** μεταφορ., πρ. πόλεος, ἡ Ἀκρόπολις, Αἰσχύλ. Ἱκέτ. 344· ἀλλ' ὡσαύτως καὶ τὸ σκάφος τῆς πολιτείας, ὁ αὐτ. ἐν Θήβ. 2 καὶ 760· πρβλ. **πρυμνήτης**· — οὕτως, ἐν πρύμνῃ φρενός, ὡς ἀναγινώσκει ὁ Ἕρμαν. ἐν Αἰσχύλ. Ἱκέτ. 989. **II**. καθόλου, τὸ κάτω μέρος, πρ. Ὄσσας, οἱ πρόποδες τοῦ ὄρους Ὄσσης, Εὐρ. Ἠλ. 443· πρβλ. **πρυμνώρεια, πρυμνός**.

πρύμνᾰδε, Ἐπίρρ., πρὸς τὴν πρύμναν, ἀλλὰ καθ' Ἡσύχ.: «πρύμναδε· πρυμνόθεν. πᾶν γὰρ πρόσγειον κάτωθεν πρύμνον λέγεται»· (ὑποπτος ἑρμηνεία).

πρυμναῖος, α, ον, ὁ ἀνήκων εἰς τὴν πρύμναν πλοίου, Ὀππ. Ἁλ. 1. 191, Ἀνθ. Π. 10. 16, κτλ.

Πρυμνεύς, ὁ, ὁ πηδαλιοῦχος, ὄνομα Φαίακός τινος ἐν Ὀδυσσείας Θ. 112· ἐκ τοῦ **πρύμνα**, ὡς ἅπαντα σχεδὸν τὰ ὀνόματα αὐτῶν ἔχουσι σχέσιν πρὸς τὰ πλοῖα, πρβλ. **Πρῳρεύς**.

πρύμνη, ἴδε ἐν λέξ. **πρύμνα**.

πρῠμνῆθεν, Δωρικ. **-ᾶθεν**, ἐπίρρ. τοῦ **πρύμνη**, ἐκ τῆς πρύμνης, Ἰλ. Ο. 716, Αἰσχύλ. Θήβ. 920, Εὐρ. Ι. Τ. 1349· πομπεύσαις πρύμνᾰθεν, ἐπὶ οὐρίου ἀνέμου, Ἤριννα (Ἀποσπ. 2) παρ' Ἀθην. 283D.

πρυμνήσιος, α, ον, (πρύμνα) ὁ ἀνήκων εἰς τὴν πρύμναν πλοίου, κάλως Εὐρ. Ἡρακλ. Μαιν. 479· πρβλ. **πρυμνήτης** **II**. **II**. κατὰ τὸ πλεῖστον κατ' οὐδ. πληθ., (ἐξυπ. **δεσμά, σχοινία**, καλώδια ἀπὸ τῆς πρύμνης τοῦ πλοίου ἐκτεινόμενα, καὶ εἰς τὴν ξηρὰν προσδενόμενα, Λατ. retinacula navis, συχν. παρ' Ὅμ. (μάλιστα ἐν τῇ Ὀδ.), πρ. καταδῆσαι Ἰλ. Δ. 436, Ὀδ. Ο. 498· ἀνάψαι Ι. 137· ἀντίθ. τῷ πρ. λῦσαι Β. 418, Ο. 286, 552· ἀναλῦσαι Ι. 178, κτλ.·— μεταφ., ἐν σοὶ τάμα βίου πρυμνήσι· ἀνῆπται Ἀνθ. Π. 12. 159, πρβλ. Εὐρ. ἔνθ' ἀνωτ.·— σπανίως ἐν τῷ ἑνικῷ, Συνέσ. 228A.

πρυμνήτης, ου, ὁ, (πρύμνα) ὁ κυβερνήτης ἢ πηδαλιοῦχος, οὗ ἡ θέσις εἶναι ἐπὶ τῆς πρύμνης·— μεταφ., χώρας τῆσδε πρ. ἄναξ, ὁ πηδαλιοῦχος τῆς χώρας, κυβερνήτης, Αἰσχύλ. Εὐμ. 16· ἄνδρα .. πρ. χθονὸς αὐτόθι 765· πρβλ. **πρῳράτης**. **II**. ὡς ἀρσ. ἐπίθ. = **πρυμνήσιος**, πρ. κάλως Εὐρ. Μήδ. 770·— ἐπὶ οὐρίου ἀνέμου, ἀντὶ τοῦ **ἀργέστης**, Ἀπολλ. Ῥόδ. Δ. 1628.

πρυμνητικός ή, όν, = **πρυμνήσιος**, Καλλίξ. παρ' Ἀθην. 203F.

πρυμνόθεν, Ἐπίρρ., = **πρύμνηθεν**, Ἀπολλ. Ῥόδ. Δ. 911, Ἄρατ. 343, κτλ. **II**. ἀπὸ τοῦ πυθμένος, ὅθεν ὡς τὸ Λατ. funditus, ὁλοσχερῶς, ὁλοκλήρως, παντελῶς, πρόρριζα, ὁλλύναι, κτλ.,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Αἰσχύλ. Θήβ. 71, 1056, πρβλ. **πρυμνός**, **πρύμνα** ΙΙ· οὐδεμία δὲ ἀνάγκη νὰ ἀναγνώσωμεν **πρέμνοθεν** κατὰ τὸν Blomf.

πρυμνόν, τό, τὸ κατώτατον μέρος, τὸ ἔσχατον, τὸ ἄκρον, πρ. θέναρος Ἰλ. Ε. 339· πρυμνοῖς ἀγορᾶς ἔπι, κατὰ τὰ ἄκρα τῆς ἀγορᾶς, Πινδ. Π. 5. 125.— Κυρίως οὐδ. τοῦ ἐπιθέτου **πρυμνός**, ὡς τὸ **πρύμνα** εἶναι θηλ. τοῦ αὐτοῦ ἐπιθέτου.

πρυμνός, ή, όν, Ἐπικ. ἐπίθ., ὁ ἔσχατος, τελευταῖος, Ὅμ.· πρυμνὸς βραχίων, τὸ ἔσχατον μέρος τοῦ βραχίονος (ἔνθα συνδέεται πρὸς τὸν ὦμον), Ἰλ. Ν. 532, Π. 323· πρ. γλῶσσα, κέρας, σκέλος, ὦμος, ἐν ἅπασι δὲ τούτοις σημαίνει τὸ πρὸς τὸ σῶμα ἔσχατον μέρος τοῦ μέλους, δηλ. τὴν ῥίζαν αὐτοῦ, Ἰλ. Ε. 292, Ν. 705., Π. 314, Ὀδ. Ρ. 504· οὕτως, ὅλην πρυμνὴν ἐκτάμνοντες, κόπτοντες τὰ ξύνδρα τοῦ δάσους ἐκ τῆς ῥίζης, Ἰλ. Μ. 149· ὄβριμον πρυμνόν, τὸ κατώτατον μέρος τῆς αἰχμῆς ὁρατὸς, καθ' ὃ δηλ. συνάπτεται μετὰ τοῦ ξύλου, Ρ. 618· λᾶας .. πρυμνὸς παχύς, πλατὺς κατὰ τὴν βάσιν, ἀντίθετ. τῷ ὑπερθεν ὀξύς (ὅπερ ἕπεται), Μ. 446· ὑπερθ. **πρυμνότατος**· Ὀδ. Ρ. 463 — περὶ τοῦ πρύμνη ναῦς, ἴδε ἐν λέξ. **πρύμνα**· ἴδε ὡσαύτως **πρυμνόν**, τό. (Κατὰ τὸν Μέγαν Ἐτυμ. ἐκ τοῦ **πείρω**, **περάω**· — συγγενὲς τῷ **πρέμνον**).

πρυμνοῦχος, ον, (ἔχω) ὁ κρατῶν τὴν πρύμναν τοῦ πλοίου, κάλως Ἀνθ. Π. 7. 374· πρβλ. **πρυμνήτης** ΙΙ, **πρυμνήσιος**.

ΙΙ, ὁ κρατῶν τὰ πλοῖα (ἐπειδὴ ἦσαν ἠγκυροβολημένα ἢ πρὸς τὴν ξηρὰν προσδεδεμένα ἐκ τῆς πρύμνης), τὸν στόλον, Αὐλις Εὐρ. Ἠλ. 1022.

πρυμνώρεια, ἡ, (ὄρος) τὸ κατώτατον μέρος τοῦ ὄρους, οἱ πρόποδες αὐτοῦ, Ἰλ. Ξ. 307, Πείσανδρος παρὰ Στεφ. Β. ἐν λ. **Νιφάτης**. (Ἐσχηματίσθη κατὰ τὸ **ἀκρώρεια**, πρβλ. **πρύμνα**). — Κατὰ Φώτιον: «πρυμνώρειαν: τὸ κάτω μέρος τοῦ ὄρους», ἀλλὰ καθ' Ἡσύχ. ταὐναντίον «πρυμνώρεια· ἀκρώρεια, ἄκρον ὄρους, τὸ ἔσχατον μέρος».

πρυτανάρχης, ὁ, ὁ τῶν πρυτάνεων ἀρχηγός, Ἐπιγρ. Κυζίκου, Mitth. d. d. arch. Inst. VI, σ. 42.

πρῠτᾰνεία, Ἰων. **-ηίη**, (πρυτανεύω) ἡ, πρεσβεία ἥτις ἐν Ἀθήναις διήρκει 35 ἢ 36 ἡμέρας, δηλ. τὸ $^1/_{10}$ περίπου τοῦ ἔτους καθ' ὃ οἱ πρυτάνεις ἑκάστης φυλῆς ἐξ ὑπαμοιβῆς προήδρευον ἐν τῇ βουλῇ καὶ τῇ ἐκκλησίᾳ (ἴδε **πρύτανις** ΙΙ), Ἀντιφῶν 146. 38, Ἀνδοκ. 10. 17, κτλ. Αἱ ἓξ πρῶται πρυτανεῖαι τοῦ ἔτους ἀπετελοῦντο ἐξ ἡμερῶν 35, αἱ δὲ τελευταῖαι τέσσαρες ἐκ 36 ἢ (κατὰ τὸ ἐμβόλιμον ἔτος τοῦ κύκλου τοῦ Μέτωνος) αἱ πρῶται ἐκ 38 ἡμερῶν καὶ αἱ τελευταῖαι ἐκ 39, Herm. Pol. Ant. § 127. 6.— Οὕτως αἱ ἡμέραι τῶν πρυτανειῶν ἠριθμοῦντο ὡς αἱ τῶν ἡμετέρων μηνῶν, ἐνδεκάτη τῆς πρυτανείας (δηλ. τῆς Πανδιονίδος) παρὰ Δημ. 708. 21, πρβλ. 712. 18, Συλλ. Ἐπιγρ. 122. 4., 124, 148. 3, κ. ἀλλ.· — ὡσαύτως, ἐπὶ τῆς Αντιοχίδος ἐνδεκάτης πρυτανείας, κατὰ τὴν ἐνδεκάτην πρυτανείαν, δηλ. κατὰ τὴν ἐνδεκάτην ἡμέραν τῆς πρυτανείας τῆς Ἀντιοχίδος φυλῆς, Συλλ. Ἐπιγρ. 111, πρβλ. 85b (Προσθῆκ.), 115.10· ὡσαύτως, κατὰ πρυτανείαν, δηλ. κατὰ 35 ἢ 36 ἡμέρας, Λυσί. 183. 27, Δημ. 1353. 25· ὁ γραμματεὺς ὁ κατὰ πρ. Συλλ. Ἐπιγρ. 107. 38., 112. 20.,113 2· καθ' ἑκάστην πρ. Αἰσχίν. 57. 23·— πρβλ. Clinton F. H. 2 append. 19, σ. 388 κἑξ. **ΙΙ**, τὸ ἄξίωμα ἢ ἡ κυβέρνησις τῶν πρυτάνεων ἐν Μιλήτῳ, Ἀριστ. Πολιτ. 5. 5, 8· ἐν Ῥόδῳ, Πλούτ. 2. 813D· ἐν Ἁλικαρνασσῷ, Συλλ. Ἐπιγρ. 265b· ἐν Μυτιλήνῃ, αὐτόθι 218b. **2)** πᾶν δημόσιον ἄξίωμα ἔχον διάρκειαν ὡρισμένην, ὅθεν παρ' Ἡροδ. 6. 110, πρυτ. τῆς ἡμέρης, ἡ ἀρχιστρατηγία, ἣν ἕκαστος στρατηγὸς ἥκει ἐκ διαδοχῆς.— Περὶ τῆς λέξεως **πρυτανεία** καθόλου ἴδε Φώτιον, Ἡσύχ. καὶ Σουΐδ., ἴδε προσέτι Ἀριστ. Ἀθην. Πολιτ. (Ἐκδ. Blass) 62, 16. 63, 5. 64, 15. 67, 14, 18. 68, 3. 7 κἑξ. 69, 9. 77, 11. 14. 89, 17.

πρῠτᾰνεῖον, τό, ὡς θηλ. τοῦ **πρύτανις**, ἐπώνυμον τῆς θεᾶς Ἑστίας, Συλλ. Ἐπιγρ. (προσθῆκ.) 2347k, 11.

πρῠτᾰνεῖον, Ἰων. **-ήιον** (ὡσαύτως ἐν τινι Κρητικῇ Ἐπιγρ., Συλλογ. Ἐπιγρ. 2554. 52), τό, ἡ αἴθουσα τοῦ πρυτάνεως, προέδρου, Λατ. curia δημόσιον οἰκοδόμημα ἐν ταῖς Ἑλληνικαῖς πόλεσιν, Ἡρόδ. 1. 146, 3. 57., 7. 197, Θουκ. 2. 15, κτλ.· ἦτο δὲ καθιερωμένον τῇ Ἑστίᾳ (Vesta) (Πινδ. Ν. 11, 1), εἰς τιμὴν τῆς ὁποίας ἐκαίετο ἀκοίμητον πῦρ, ὅπερ εἰς τὰς ἀποικίας ἐφέρετο ἐν ἀρχῇ ἐκ τοῦ τῆς μητροπόλεως πρυτανείου. Ἐν Ἀθήναις ἐκαλεῖτο καὶ **θόλος**, καὶ ἐν αὐτῷ οἱ ἑκάστοτε πρυτάνεις καὶ ἄλλοι τινὲς ἄρχοντες ἐσιτοῦντο καὶ ὅπου ἐξένιζον δημοσίᾳ δαπάνῃ τοὺς ξένους πρέσβεις, Ἀριστοφ. Ἀχ. 125, Δημ. 350. 24· ὡσαύτως πολῖται μεγάλως τὴν πολιτείαν εὐεργετήσαντες καὶ τὰ τέκνα τῶν πεσόντων ἐν μάχῃ συχνάκις ἀντημείβοντο διὰ τῆς ἐν τῷ πρυτανείῳ σιτήσεως, ἐν πρυτανείῳ δεῖπνεῖν, σιτεῖσθαι Ἀριστοφ. Εἰρ. 1084, Πλάτ. Ἀπολ. 36D, Δημ. 414. 9, κτλ.· (ἴδε **σίτησις**)· περὶ τούτου λέγει ὁ Liv. 41. 20, penetrale urbis, ubi publice, quibus is honos datus est, vescuntur· ἐπὶ δεῖπνον εἰς τὸ πρ. καλεῖν τινα Δημ. 1210. 12, Αἰσχίν. 34. 13, πρβλ. Ἀριστ. Ἱππ. 1404, Συΐλ. Ἐπιγρ. 84. 87, 106· οὐ γὰρ μὴ τίθενται συμβολαί, πρυτανεῖα πάντα ταῦτα προσαγορευτέα, πρέπει νὰ ὀνομάζωνται πρυτανεῖα, δηλ. μέρη ἔνθα δύνανται τις νὰ δειπνῇ ἄνευ οὐδεμιᾶς δαπάνης, Τιμοκλῆς ἐν «Δρακοντίῳ» 1. 18· ἐντεῦθεν ὁ Πλάτων καλεῖ τὰς Ἀθήνας τῆς Ἑλλάδος αὐτὸ τὸ πρ. τῆς σοφίας, Πρωτ. 337D, πρβλ. Θεοπόμπ. Ἱστ. Ἀποσπ. 297. **ΙΙ**, δικαστήριον ἐν Ἀθήναις, τὸ ἐπὶ πρυτανείῳ δικαστήριον, οἱ ἐκ πρυτανείου καταδικασθέντες Δημ. 645. 15, Πλουτ. Σόλων 19. **2)** **πρυτανεῖα**, τά, τὸ ἀργύριον ὃ πρακτέτίθεσαν οἱ δικαζόμενοι πρὸ τῆς δίκης, Λατιν. sacramentum, Ἀριστοφ. Νεφ. 1136, 1180, κ. ἀλλ.· ὁ καταδικαζόμενος οὐ μόνον τὰ ἴδια χρήματα ἐζημιοῦτο ἀλλὰ καὶ ὤφειλε νὰ πληρώσῃ τὸν ἀντίδικον· τὸ ποσὸν τῶν χρημάτων ἦτο διάφορον κατ' ἀναλογίαν πρὸς τὴν σπουδαιότητα τῆς ὑποθέσεως· τὰς ἀναλογίας παρέχει ὁ Böckh P. E. 2. 64, Herm. Pol. Ant. § 140· αἱ καταβολαὶ αὗται ἀπετέλουν μέρος τῶν δημοσίων προσόδων, Ἀριστοφ. Σφ. 659·— τίθημι πρυτανεῖά τινι, καταθέτω χρήματα ἐναντίον τινός, κάμνω ἀγωγὴν κατ' αὐτοῦ, Λατ. sacramento aliquem provocare, Ἀριστοφάν. Νεφ. 1136, Συλλ. Ἐπιγρ. (προσθῆκαι) 73c, 14· πρ. τιθέτω ὁ διώκων τοῦ αὐτοῦ μέρους Δημ. 1074 ἐν τέλ.· Ἵν' αἱ θέσεις γίγνοιντο τῇ νουμηνίᾳ (ἐξυπακ. τῶν πρυτανείων) Ἀριστοφ. Νεφ. 1191· δέχομαι τὰ πρ., δέχομαι τὴν καταβολήν, δηλ. ἐπιτρέπω τὴν προσαγωγὴν τῆς ἀγωγῆς, αὐτόθι 1197· πρ. ἐκτίνω, πληρώνω τὴν καταβολὴν ταύτην, Δημ. 1158. 22· περὶ τῆς λέξεως **πρυτανεῖον** καθόλου ἴδε Ἀριστ. Ἀθην. Πολιτ. (Ἐκδ. Blass) 3, 17, 4. 3, 91, 11. 36, 17· ἴδε καὶ Σουΐδ. ἐν λέξει.

πρῠτᾰνεῖος, α, ον, ὁ ἀνήκων εἰς τοὺς πρυτάνεις, Ἀριστείδ. Ι. 342· Ἑστία πρυτανεία Συλλ. Ἐπιγρ. 2347k. 11 (σ. 1059).

πρυτάνευμα, τό, = **πρυτανεία**, Βυζ.

πρῠτᾰνεύς, ὁ, = **πρύτανις**, Συλλ. Ἐπιγρ. 2530, Ἁρποκρ. ἐν λ.

πρυτανεύοντα, **πρυτανεῦσαι**, = **πρυτάνεσι**, δυτ. πληθ. Ἐπιγρ. Ῥόδου, CIG. 2530.

πρῠτᾰνεύω, εἶμαι πρύτανις ἢ πρόεδρος, κυβερνῶ, ἀθανάτοισι, ἐν αὐτοῖς, Ὕμ. Ὁμηρ. εἰς Ἀπόλλ. 68. **ΙΙ**, ἐν Ἀθήναις, ἔχω τὸ ἀξίωμα τοῦ πρυτάνεως, κυρίως ἐν χρήσει ἐπὶ τῆς φυλῆς, ἥτις συνέβη νὰ ἔχῃ τὴν πρυτανείαν (ἴδε **πρύτανις** ΙΙ), ἔτυχεν .. ἡ φυλὴ Ἀκαμαντὶς πρυτανεύουσα Πλάτ. Ἀπολ. 32B, πρβλ. Γοργ. 473E· Ἀκαμαντὶς ἐπρυτάνευε Θουκ. 4. 118· Κεκροπὶς ἐπρ. Συλλ. Ἐπιγρ. 76· κτλ.— Εἰδικῶτερον ὡσαύτως ἐπὶ ἑνὸς προσώπου τῆς πρυτανείας, Ἀντιφῶν 146. 37, πρβλ. Ἀνδοκ. 7. 15. **2)** πρ. περὶ εἰρήνης, ποιῶ πρότασιν περὶ εἰρήνης καὶ προκαλῶ ἐπ' αὐτῇ ψηφοφορίαν, διότι τοῦτο ἦτο τὸ ἔργον τῶν πρυτάνεων, Ἀριστοφάν. Ἀχ. 60· οὕτω, πρυτανεύειν εἰρήνευν Ἰσοκρ. 66A· ὡσαύτως, πρ. τινι εἰρήνην, ἐπιτυγχάνω τὴν εἰρήνην ὑπέρ τινος, Δουκ. Δημώδ. Βίος 9· φιλίαν Δίων Κ. 46. 11· ὁ πρυτανεύσας ταῦτα καὶ πείσας, Λατιν. auctor, suasor sententiae, Δημ. 191. 15. **ΙΙΙ**, καθόλου διοικῶ, διευθύνω, κυβερνῶ, κανονίζω, συνάπτεται μετὰ τοῦ διοικεῖν, Δημ. 58. 19· ταῦτα πρ. ὁ αὐτ. 191. 15.— Παθητ., πρυτανεύεσθαι παρά τινος ὁ αὐτ. 126. 14· μεταφορ., δεῖπνον χαριέντως πεπρυτανευμένον, παρασκευασμένον μετὰ χάριτος, Ἄλεξις ἐν «Κρατεύᾳ» 1. 4· καὶ ἐπὶ προσώπων, χορηγία βασιλικῇ πρυτανευόμενος ὁ Θεμιστοκλῆς, διατρεφόμενος, θεραπευόμενος βασιλικαῖς δαπάναις, Πλούτ. 2. 602A.— Περὶ τοῦ **πρυτανεύω** καθόλου ἴδε Ἀριστ. Ἀθην. Πολιτ. (Ἐκδ. Blass) 62, 8, 12, κἑξ., 64, 8, 19. 91, 6, ἴδε καὶ Σουΐδ. ἐν λ. **πρυτανεύοντα**, **πρυτανευούσης**, **πρυτανεύσητε**, πρβλ. καὶ Φώτιον ἐν λέξ. **πρυτανεία**, ἴδε καὶ Ἁρποκρ. ἐν λ. **πρυτανεύοντα**.— Ἴδε Κόντου Γλωσσ. Παρτηρ. σ. 132.

πρυτᾰνήιον, **-ήιον**, Ἰων. ἀντὶ **πρυτανεῖον**, **-εῖον**.

πρῠτᾰνικός, ή, όν, ὁ ἀνήκων ἢ ἁρμόζων εἰς πρύτανιν, ἡ πρ. ἐξουσία Συλλ. Ἐπιγρ. 2264, Ἀθήν. 149E·— ἰδιόρρυθμον θηλ. **-ῖτις**, **ιδος**, ὡς ἐπίθετον τοῦ **Ἑστία**, Ἀθήν. 149D.

πρῠτᾰνις [ῠ], γενικ. **εως** (ὡσαύτως **ἀρχι-πρυτανίδος** Συλλ. Ἐπιγρ. 2876-8), ὁ· πληθ. **πρυτάνεις**, ἡγεμών, κυβερνήτης, διοικητής, κύριος, ἄρχων, ἀρχηγός, ἐπὶ τοῦ Ἥρωνος, Πινδ. Π. 2. 106· πρ. στεροπᾶν κεραυνῶν τε, ἐπὶ τοῦ Διός, ὁ αὐτ. 6. 2A· οὕτω, πρ. ἵππων, ἐπὶ τοῦ Ποσειδῶνος, Στησίχ. 45· ἀγορᾶς πρ., ἐπὶ τοῦ Ἀπόλλωνος, Σιμωνίδης ἐν Ἀνθ. Π. 6. 212· μακάρων πρ., ἐπὶ τοῦ Διός, Αἰσχύλ. Πρ. 169· Κρόνιε Φρυγίων πρύτανι, Εὐρ. Τρῳ. 1588· πρ. συμποσίων, ὁ ἐ. ὁ Διόνυσος, Ἴων 1. 14, πρ. 9· 3· οἶνον .. ἀνθρώπων πρ. ὁ αὐτ. 9· δυσαμερίᾱν πρ., ἐπὶ τῆς Σφιγγός, Αἰσχύλ. ἐν Ἀρ. Βατρ.· Ἡράδατον .. ἱστορίης πρύτανιν Ἀνθ. Π. παράρτ. 212. πλούτου καὶ σοφίης πρ., ἐπὶ τοῦ Περιάνδρου, Ἐπιγρ. παρὰ Διογ. Α. 1. 97· πρ. ὕμνων (δηλ. ἡ ᾠδή) παρ' Ἀθην. 633A· μούσης ὑψινόου πρ. Ἑλλ. Ἐπιγράμμ. 140. 10· τέχνας ὁ πρ. πέλεκυς Ἀνθ. Π. 6. 205. **ΙΙ**, ἐν Ἀθήναις, πρύτανις ἢ πρόεδρος, ἀξίωμα πολιτικόν, πρυτάνεις τοὺς τότε πρυτανεύσαντας Ἀνδοκ. 7. 15, κτλ.· ἀπετέλουν δὲ μέρος ἐπιτροπείας ἢ σωματείου ἐκ 50, ὄντες βουλευταὶ διὰ κλήρου ἐκλεγόμενοι ἐξ ἑκάστης τῶν δέκα φυλῶν, ὥστε ἕκαστον τμῆμα σωματεῖον ἀπετέλει τὰ $^1/_{10}$ μέρος τῆς βουλῆς τῶν 500· αἱ πρυτάνεις οὗτοι τῇ βοηθείᾳ γραμματέως ἐκυβέρνων τὰς ὑποθέσεις

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῆς τε βουλῆς καὶ τῆς ἐκκλησίας (ἴδε ἐν λέξ.). — Ἡ φυλὴ ἡ πρώτη λαμβάνουσα τὴν ἀρχὴν ταύτην κατὰ τὰς ἀρχὰς τοῦ ἔτους ὡρίζετο διὰ κλήρου· καὶ ὁ χρόνος τῆς **πρυτανείας** διήρκει περὶ τὰς πέντε ἑβδομάδας. Κατὰ τὸ χρονικὸν τοῦτο διάστημα ἅπασαι αἱ συνοῦσαι καὶ ἄλλαι δημόσιαι πράξεις ἔφερον τὸ ὄνομα αὐτῶν κατὰ τόνδε τὸν τύπον: Ἀκαμαντὶς [φυλὴ] ἐπρυτάνευε, Φαίνιππος ἐγραμμάτευε, Νικιάδης ἐπεστάτει (Θουκ. 4. 118, πρβλ. 5. 14, Πλάτ. Ἀπολ. 32B, Ξεν. Ἑλλ. 1. 7, 14, Συλλ. Ἐπιγρ. 76, κ. ἀλλ.). — Οἱ πρυτάνεις κατεῖχον τὴν πρώτην θέσιν καὶ εἶχον πρῶτοι τὸ δικαίωμα τοῦ ὁμιλεῖν ἐν τῇ ἐκκλησίᾳ, διηύθυνον τὰ ἔργα αὐτῆς καὶ ἐσιτοῦντο δημοσίᾳ δαπάνῃ ἐν τῷ πρυτανείῳ, ἴδε Hermann. Pol. Ant. § 127. — Περὶ τῶν πρυτάνεων τῶν ναυκράρων ἴδε ἐν λέξ. **ναύκραρος**. **2)** ἐκαλεῖτο οὕτω καὶ ὁ πρόεδρος ἄλλων Ἑλληνικῶν πόλεων, οἷον ἐν Ρόδῳ, Συλλ. Ἐπιγρ. 2530, πρβλ. 2189· ἐν Λυκίᾳ, Ἄρχιππος ἐν «Γηρυόνῃ» 1. 19· ἐν Μιλήτῳ, Ἀριστ. Πολιτ. 5. 5, 8· λέγεται καὶ ὡς ἐπώνυμον ἀρχιερέως, αὐτόθι 6. 8, 20· — σπανίως ἐπὶ γυναικός, Συλλ. Ἐπιγρ. 3415, 3953b. (Ἀναμφιβόλως ἐκ τῆς προθέσεως **πρό**, ὅθεν κυρίως ὁ πρῶτος ἢ ὁ πρωτεύων, πρβλ. τὸν Αἰολ. τύπον **πρότανις**). — Περὶ τῶν πρυτάνεων καθόλου ἴδε Ἀριστ. Ἀθην. Πολιτ. (Bhss) σ. 61, 4 κἑξ. κ. ἀλλ. — Ἴδε Κόντου Σχόλια ἐν Ἀθηνᾶς τόμ. Β', σ. 480 κἑξ.

πρὼ ἢ πρῴ, πρωαίτερον, πρωαίτατα, ἴδε ἐν λ. **πρωΐ**.

πρώγγυος, Σικελ. Δωρικ. ἀντὶ **προθύγγυος, προέγγυος**, Ἡρακλειωτ. Πίν. ἐν Συλλ. Ἐπιγρ. 5774. 154, 160, 163, κ. ἀλλ. — ἐντεῦθεν τὸ ῥῆμα **πρωγγυεύω** = **προεγγυάω**, αὐτόθι 155.

πρῷζος, ον, Ἀττ. ἀντὶ **πρώϊζος**, ᾱ ἴδε.

πρῶην (ὀρθότ. **πρῴην**, ἴδε περὶ τὸ τέλος), Δωρ. **πρώᾱν** Θεόκρ. 4. 60., 2. 4., 15. 15· συνηρ. **πρῶν** Καλλ. Ἀποσπ. 84· — νεωστί, ἀρτίως, Λατιν. nuper, Ἰλ. Ε. 832, Ω. 500, κ. ἀλλ., Ἀριστοφ. Ἀποσπ. 355, Ἄλεξ. ἐν «Χορηγίδι» 1, κτλ. **II.** ἐπὶ μᾶλλον ὡρισμένης σημασίας, κατὰ τὴν πρὸ τῆς χθὲς ἡμέραν, προχθές, οὐ., χθές, ἀλλὰ πρ. Θουκ. 3. 113· ἐντεῦθεν αἱ φράσεις, μέχρι οὗ πρώην τε καὶ χθὲς Ἡρόδ. 2. 53· ὡσαύτως, πρώην καὶ χθὲς Δημ. 1093. 3· χθές τε καὶ πρώην Ἀριστοφ. Βάτρ. 726· χθὲς καὶ πρ. Πλάτ. Νόμ. 677D· τὰ χθὲς καὶ πρ. ὁ αὐτ. ἐν Γοργ. 470D· ἐχθὲς καὶ πρ. Ἰσοκρ. 121B· ἄρτι καὶ πρ., ὀψὲ καὶ πρ. Πλούτ. Βρουτ. 1., 2. 394C· ἴδε **πρωϊζός**, καὶ πρβλ. Λοβέκ. ἐν Φρυνίχ. 323. (Τὸ **πρώην** φαίνεται ὅτι ἐσχηματίσθη ἐκ τοῦ **πρωΐην** (ἐξυπακ. τοῦ ὥραν), ἐνικ. αἰτ. θηλ. τοῦ **πρώϊος**· ἓν οὕτως ἔχει, ἡ ὀρθὴ γραφὴ εἶναι **πρῴην**). [**πρω-** κεῖται ὡς βραχεῖα παρὰ Θεοκρ. ἔνθ' ἀνωτ.].

πρωθαλιεύς ὁ δεσπότης Χριστός, ὁ πρῶτος τῶν ἁλιέων, Θ. Στουδ. σ. 777, ἔκδ. Mi.

πρωθ-ήβης, ου, ὁ, (πρῶτος) ἐν τῇ πρώτῃ ἀκμῇ τῆς ἥβης, παῖδας πρωθήβας, «πρώτως ἡβῶντας» (Σχόλ.), Ἰλ. Θ. 518· κοῦραι πρ. Ὀδ. Θ. 563· οὕτω καὶ παρὰ μεταγενεστ. ποιηταῖς· ὡσαύτως παρὰ μεταγενεστ. πεζολόγοις, οἷον Λουκ. ἐν Νεκρ. Διαλ. 5. 2, Ἀπολ. Ἰδηρ. 65· — θηλ. **προθήβη** μόνον ἐν Ὀδ. Λ. 431, πρωθήβην ἔτ' ἐοῦσαν· — Ἕτερον θηλ. **πρωθήβεις** εὑρηται ἐν Ἡρωδιανῷ περὶ Ἰλιακῆς Προσῳδίας τ. 2, σ. 67, 32, κ. ἀλλ.· ἴδε Κόντου Γλωσσ. Παρατηρ. σ. 532.

πρωθ-ύπνιον, τό, ἴδε ἐν λ. **πρωτοΰπνιον**.

πρωθ-ύστερος, ον, ὁ ὕστερος πρῶτος, πρ. ὁ τρόπος Σχόλ. εἰς Εὐρ. Ὀρ. 702· οὐδ. **πρωθύστερον** = ὕστερον πρότερον, σχῆμα λόγου καθ' ὃ τὰ πρῶτα τάσσονται ὕστερα καὶ τἀνάπαλιν, Εὐρ. Φοίν. 887, κτλ.

πρωΐ (ῑ), Ἀττ. **πρῴ** (Σχόλ. εἰς Ἀριστοφ. Ὄρν. 132, Ἐκκλ. 290, Ἰω. Ἄλεξ. Τονικὰ παραγγ. 32, Σουΐδ. ἐν λέξ. κτλ.), ἂν καὶ τὰ Ἀντίγραφα συνήθως ἔχουσι **πρῶϊ**, **πρωΐ**, ἢ **πρῴ**· Ἐπίρρ. (πρό). — Ἐνωρίς, **πρωΐ**, τὴν πρωΐαν, Λατ. mane, ἀντίθ. τῷ ὀψέ, κατὰ τὸν Θεοφρ. Ἀποσπ. 6. 1, 9, τὸ πρὸ τῆς μεσημβρίας χρονικὸν τῆς ἡμέρας διάστημα, ἀπὸ τῆς ἀνατολῆς μέχρι τῆς μεσημβρίας, πρωῒ ὑπηοῖοι, «ὑπὸ τὴν ἑῴαν, ὑπὸ τὸν ὄρθρον» (Σχόλ.), Ἰλ. Θ 530., Σ. 277, 303· ὡσαύτως μετὰ γεν., πρωῒ ἔτι τῆς ἡμέρας Ἡρόδ. 9, 101· ἑκάστης ἡμέρας πρῴ καὶ πρὸς ἑσπέραν Ξεν. Ἑλλ. 1. 1, 30· πρῴ πάνυ Ἀριστοφ. Σφ. 104· πρῴ τῇ ὑστεραίᾳ, ἐνωρὶς τὴν ἑπομένην ἡμέραν, πρωῒ πρωΐ, Ξεν. Κύρ. 1. 4, 16· ἅμα πρωῒ Εὐαγγ. κ. Ματθ. κ', 1· ἀπὸ πρωῒ ἕως ἑσπέρας Πράξεις Ἀποστ. κη', 23. **2)** καθόλου ἐνωρίς, πολὺ ἐνωρίς, Λατ. mature, temperstive, πρωῒ μᾶλα σπεύδων Ἡσ. Ἔργ. κ. Ἡμ. 459, Ἀποσπ. 45, Ἀριστοφ. Ὄρν. 132, κτλ.· ὡσαύτως μετὰ γεν., πρωῒ τοῦ ἦρος, τοῦ θέρεος Ἱππ. 938D, 939E, κτλ.· πρῴ τῆς ὥρας Θουκ. 7. 39. **3)** = πρὸ καιροῦ (Δ. Β. 61, 18), πάρα πολὺ ἐνωρίς, ὡς τὸ Λατ. mature ἀντὶ praemature, πρῴ γε στενάζεις (διάφ. γραφ. πρό) Αἰσχύλ. Πρ. 696· ἀδόκητα γὰρ πρῴ λέγοις ἂν Σοφ. Τρ. 631· πρῴ ἐσβαλόντες, καὶ τοῦ αἰτοῦ χλωροῦ ὄντος Θουκ. 4. 6, πρβλ. Πλάτ. Παρμ. 135C· — τὸ **πρωΐ** παραλαμβάνει τοὺς παραθετικοὺς τύπους ἐκ τοῦ παραγώγου ἐπιθ., οὕτω συγκρ. **πρωϊαίτερον**, ὑπερθετ. **πρωϊαίτατα**, Ἱππ. 1022G, 1127B, Θουκ. 7. 19 καὶ 39., 8. 101, Πλάτ. Φαίδων 59D,E, Θε (= 150E, Πρωτ. 326E, Ξεν. Κύρ. 8. 8, 9, κτλ.· ἀλλὰ παρὰ τοῖς Ἀττικοῖς πιθανῶς οἱ γνήσιοι τύποι ἦσαν **πρῳαίτερον, πρῳαίτατα**, ὡς γράφει ὁ Βεκκῆρος παρὰ Θουκ. 7. 19, 39, κτλ.· οἱ δὲ τύποι **πρωϊτερον, πρωϊτατα** εἶναι πολὺ μεταγενέστεροι, ἂν καὶ εἰσήχθησαν ὑπὸ τῶν Ἀντιγραφέων εἰς τὰ παλαιὰ κείμενα, ἴδε Δινδ. εἰς Θησ. Στεφ. 2130.

πρωΐα, ἴδε **πρώϊος**.

πρωϊ-ανθής, ές, ὁ ἐνωρὶς ἀνθῶν, Θεοφρ. π. Φυτ. Αἰτ. 5. 1, 12.

πρωϊβλαστέω, βλαστάνω ἐνωρίς, Θεοφρ. π. Φυτ. Ἱστ. 1. 9, 6, π. Φυτ. Αἰτ. 5, 6, 6, κτλ.

πρωϊβλαστής, ές, (βλάστη) ὁ βλαστάνων ἐνωρίς, Θεοφρ. π. Φυτ. Ἱστ. 1. 14, 3. π. Φυτ. Αἰτ. 1. 10, 7· ἴσως καὶ **πρωϊβλαστος, ον**, Schneid. εἰς Θεόφρ. 4, σ. 370· πρβλ. **ὀψιβλαστής**.

πρωϊβλαστία, ἡ, πρώϊμος βλάστησις, Θεοφρ. π. Φυτ. Αἰτ. 1. 21, 3.

πρωϊζός, Ἀττ. **πρῳζός, όν**, = **πρώϊος**, Ἐτυμολ. Μέγ. 691. 56. **II. πρωϊζά** ἐν χρήσει ὡς ἐπίρρ., ἀκριβῶς ὡς τὸ **πρώϊν**, χθιζά τε καὶ πρ., χθὲς ἢ προχθές, Ἰλ. Β. 303, πρβλ. Πλάτ. Ἄλκ. 2. 141D· οὕτω δὴ πρ. κατέδραθες, τόσον πολὺ ἐνωρίς, Θεόκρ. 18. 6, πρβλ. Ὀδ. Ο. 393. (Ἐν τοῖς Ἀντιγράφοις ὡς ἐπὶ τὸ πλεῖστον προπαροξύτ., ἀλλ' ἴδε Ἡρωδιαν. παρ' Ἀρκαδ. 48. 23).

πρωϊΐζω, ἐγείρομαι ἐνωρίς, πρωΐ, Γρηγ. Ναζ. σ. 295.

πρωϊθεν, Ἐπίρρ. (πρωΐ) ἀπὸ πρωΐας, ἀπὸ πρ. Ἐβδ. (Ἐξ. ΙΗ', 13, Ρουθ Β', 7, κ. ἀλλ.), ἴδε Εὐστ. Πονημάτ. 290. 77, καὶ πρβλ. **πρωϊόθεν**.

πρωϊ-καρπος, ον, ὁ καρποφορῶν ἐνωρίς, Θεοφρ. π. Φυτ. Ἱστ. 1. 14, 3, π. Φυτ. Αἰτ. 1. 10, 7· — ἐντεῦθεν **πρωϊκαρπέω**, καρποφορῶ ἐνωρίς, π. Φυτ. Αἰτ. 1, 13, 9· καὶ **πρωϊκαρπία**, ἡ, ἔγκαιρος, πρώϊμος καρποφορία, αὐτόθι 1. 17, 8.

πρώϊμος [ῑ], **ον**, ὡς καὶ νῦν, ἀντίθετον τῷ **ὄψιμος**, ἐπὶ καρπῶν, Ξεν. Οἰκ. 17, 4, Ἀριστ. Προβλ. 20. 14, 2· μεταφορ., ὁ πρώϊμον λαμβάνων αὔξησιν, προπετής, πρ. **πονηρία** Μητρόδ. παρὰ Στοβ. 357 ἐν τέλ.· πρβλ. **πρῶϊμος**.

πρωϊνός [ῑ], ἡ, **όν**, μεταγεν. καὶ ἀδόκιμος τύπος τοῦ **πρώϊος** (ἴδε Κόντου Γλωσσ. Παρατηρ. σ. 332, 333), Ἐβδ. (Γέν. ΜΘ', 27, Ἔξοδ. ΚΘ', 41, κ. ἀλλ.), Πλούτ. 2. 726E, Βαβρ. 97. 17, Ἀθήν. 11G. κτλ. Ἐπίρρ. **-νῶς**, Σουΐδ.

πρωϊόθεν, = **πρωϊθεν**, Ἐβδ. (Β' Βασιλ. Β', 27).

πρώϊος, Ἀττ. **πρῷος, α, ον**, (πρωΐ, πρῴ). **I.** ὁ κατὰ τὴν πρωΐαν, πρωϊνός, νεωρὴν .. ἣν ἐνέδησα πρώϊον Ἰλ. Ο. 470 (ἔνθα τὸ πρώϊον κεῖται ἐπιρρηματικῶς ἀντὶ τοῦ πρωΐ)· πρ. ἴχνος ἄγων Νόνν. Εὐαγγ. κ. Ἰω. 21. ν. 4, πρβλ. Ἀνθ. Π. 6. 304· ὡσαύτως, περὶ δείλην πρωΐην (πρβλ. **δείλη**) Ἡρόδ. 8. 6· δείλης πρώϊας Φιλήμων ἐν Ἀθήν. 116· — **πρωΐα** ὡς οὐσιαστ., ἣν δὲ πρωΐα Εὐαγγ. κ. Ἰω. ιή', 28· πρωΐας γενομένης κ. Ματθ. κζ', 1· γεν. **πρωΐας** ὡς ἐπίρρ. = **πρῴ**, αὐτόθι κά', 18· — μετὰ προθέσεων, καθ' ἑκάστην πρωΐαν Ἰωσήπ. Ἰουδ. Ἀρχ. 7. 8, 1· ἀπὸ πρωΐας ἄχρις ἡλίου δύσεως Συλλ. Ἐπιγρ. 1122.

II. ἐγκαίρως, ἐνωρὶς ὡς πρὸς τὸ ἔτος, ἀντίθ. τῷ **ὄψιος**· πρώϊος [ὁ στρατὸς] συνελέγετο Ἡρόδ. 8. 130· πρῶα τῶν καρπίμων, τὰ πρώϊμα, ὡς τὰ ὡραῖα, Ἀριστοφ. Σφ. 264· σικύων πρῴων ὁ αὐτ. ἐν Εἰρ. 1001, πρβλ. 1164, Θεοφρ. π. Φυτ. Αἰτ. 4. 11, 1· διὰ τὸ τὰ μὲν πρώια τὰ δ' ὄψια προίεσθαι (ἐξυπ. ᾠά) Ἀριστ. π. τὰ Ζ. Ἱστ. 5. 9, 6· πρ. τόπος, τόπος πρώϊμος, δηλ. παράγων πρώϊμους καρπούς, Θεοφρ. π. Φυτ. Ἱστ. 8. 2, 9, πρβλ. π. Φυτ. Αἰτ. 3. 24. 2.

πρωϊτάτης, ητος, ἡ, τὸ πρώϊμον τῶν καρπῶν, Θεοφρ. π. Φυτ. Αἰτ. 4. 11, 9.

πρώϊτερα, ποιητ. ἀντὶ **πρῶτα**, Σιμωνίδ. 32.

πρωϊ-σπορος, ον, ἐσπαρμένος ἢ μέλλων νὰ σπαρῇ ἐνωρίς, Θεοφρ. π. Φυτ. Ἱστ. 8. 1, 3, ἔν τε τῷ θετικῷ καὶ συγκρ. — ἐντεῦθεν ῥῆμα **πρωϊσπορέομαι**, Παθ., αὐτόθι 8. 1, 2.

πρωϊτερον, πρωϊτατα, ἴδε ἐν λ. **πρωΐ** II.

πρωκτο-πεντετηρίς, ἡ, ἡ κατὰ πενταετίαν ἀκολασία, «παρ' ὅσον διὰ πενταετηρικοῦ χρόνου ἤγοντο αἱ θεωρίαι τῶν Διονυσίων» (Σχόλ.), Ἀριστοφ. Εἰρ. 872.

πρωκτός, ὁ, «ὁ κόλος (γρ. κῶλ-), παρὰ τὸ **προωθεῖν τὰ τῆς γαστρός**», Σουΐδ. «πρωκτὸς προαχτός τις ἐστι· παρὰ τὸ δι' αὐτοῦ προάγεσθαι τὰ περιττώματα» Ἐτυμ. Μέγ. 692, 46. Ἡ λέξις συχνὰ ἁπαντᾷ παρ' Ἀριστοφ., ἴδε Σουΐδ., Φώτ., Ἡσύχ. καὶ Παροιμιογρ.

πρωκτο-τηρίᾱ, παρατηρῶ τοὺς πρωκτούς, «πρωκτοτηρεῖν, τοὺς πρωκτοὺς τῶν πορευόντων τηρεῖν. ἐπείρητο δὲ τοῖς τοιούτοις δημηγορεῖν» Σουΐδ., Ἀριστοφάν. Ἱππ. 876, ἴδε **ἀποραφανίδωσις** καὶ **παρατίλλω**. — Ἴδε Κόντου Γλωσσ. Παρατηρ. σελ. 299, Χ. Χαριτωνίδου Ποικίλα Φιλολογικὰ τόμ. Δ', σ. 13.

πρῷμος, ον, Ἀττ. ἀντὶ **πρώϊμος**, Ἀριστοφ. Ἀποσπ. 340.

πρών, ὁ, γεν. καὶ δοτ. **πρῶνος, πρῶνι**, οὐχὶ **πρωνός, πρωνί**, (διότι εἶναι συνηρ. ἐκ τοῦ **πρεών** ἢ **πρηών** ἃ ἴδε), ἂν καὶ παρὰ μεταγεν. δυνάμεθα νὰ δεχθῶμεν **πρωνός**, οἷον ἐν Ἀνθ. Π. 9. 328· (πρό). Προεξέχον μέρος τῆς ἢ ὄρους ἐξοχή, ἢ ἀκρωτήριον, Λατ. promontorium, πρὼν ἰσχάνει ὕδωρ ἁλῆιος Ἰλ. Ν. 747· πλὴν τοῦ χωρίου τούτου ἡ λέξις ἀπαντᾷ ἐν τῇ Ἰλ. μόνον ἐν τῷ πληθυν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πρῶνες ἐκ τοῦ ἐκτεταμένου τύπου **πρῶων**, Θ. 557, Μ. 282, Π. 299· (οὐδέτερος τῶν τύπων τούτων ἀπαντᾷ ἐν τῇ Ὀδ.· ὁ Ἡσ. (Ἀσπ. Ἡρ. 437) ἔχει **πρηώνων**)· μεθ' Ὅμ., πρώονες καὶ χαράδραι Ἀλκμὰν 44· **πρῶνες** ἔξοχοι Πινδ. Ν. 4. 85· **πρῶνες** Λοκρῶν Σοφ. Τρ. 788· Πόσειδον, ὃς Αἰγαίου μέδεις **πρῶνας** ὁ αὐτ. ἐν Ἀποσπ. 341· ἔρημοι **πρῶνες** ἀνθρώπων Εὐρ. Κύκλ. 116· —ἐν Αἰσχύλ. Πέρσ. 132, ἀμφοτέρας ἄλιον **πρῶνα** κοινὸν αἴας, κατὰ τὴν ἑρμηνείαν τοῦ Blomf. νοεῖται ἡ γέφυρα ἥτις ἐξετείνετο ἀπὸ τῆς μιᾶς παραλίας τοῦ Ἑλλησπόντου μέχρι τῆς ἑτέρας, ἢ ἴσως ἄμεινον (κατὰ τὸν Schütz) ἡ προεξέχουσα γῆ τῆς Θρᾳκικῆς χερσονήσου· οὕτω, **πρὼν ἅλιος**, αὐτόθι 879, εἶναι τὸ ἀκρωτήριον τῆς Ἰωνίας τὸ ἀπέναντι τῆς Χίου (Blomf. ἐν τόπῳ), ἢ μᾶλλον ἴσως ἡ χερσόνησος τῆς Μικρᾶς Ἀσίας ὡς τὸ **ἀκτὴ** παρ' Ἡροδ. 4. 38· περὶ τοῦ κάτοπτον **πρῶν'** ἐν Αἰσχύλ. Ἀγ. 307, ἴδε ἐν λ. **κάτοπτος**.

πρῶν ἢ πρῷν, ἴδε ἐν λ. **πρώην**.

πρῶξ, ἡ, γεν. **πρωκός**, σταγὼν δρύσου· ἀπαντᾷ μόνον ἐν τῷ πληθ., **πρῶκας** σιτίσᾶται ὥσπερ ὁ τέττιξ Θεόκρ. 4. 16, πρβλ. Καλλ. εἰς Ἀπόλλ. 40. — Καθ' Ἡσύχ.: «**πρῶκες**, σταγόνες, ψεκάδες, σταλαγμοί».

πρῷος, α, ον, Ἀττ. ἀντὶ **πρῶΐος**, ἴδε.

πρω-πέρῡσι, ἴδε **προπέρυσι**.

πρῷρα, ἡ, (οὐχὶ **πρώρα**, διότι εἶναι συνηρ. ἐκ τοῦ **πρώειρα**, καὶ Δωρικὸς τις τύπος **πρώϊρα** ἀπαντᾷ παρὰ Σιμωνίδ. 32, πρβλ. Διν.δ.εἰς Σοφ. Φοιν. 482), ἴδε Κόντου Γλωσσ. Παρατηρ. σελ. η')· —τοὺς τύπους **πρῴρη**, **πρῴρην** ἀποδοκιμάζει παρ' Ἡροδ. ὁ Διν.δ. de Dial. Hdt. xi· ἐξ ἴσου δὲ ἡμαρτημένως ἔχουσιν οἱ τύποι **πρῴρᾱ**, **πρῴρᾱν**, συχνάκις ἀπαντῶντες ἐν ἐκδόσεσι τῶν πεζῶν συγγραφέων, καθότι ὁ τύπος **πρῷρᾱ** ἔχει βεβαιωθῇ ἐκ τῆς χρήσεως τῶν ποιητῶν: (πρό). Ὡς καὶ νῦν, τὸ πρόσθιον μέρος πλοίου, κοινῶς «πλῴρη», Λατιν. prora, εἰς ἴκρια νηὸς ἑβαινον πρῴρης Ὀδ. Μ. 230· συχν. παρ' Ἡροδ. καὶ τοῖς Ἀττικ.· πνεῦμα τοὺς πρῴρας, ἐναντίος ἄνεμος, ἐν ἀντιθέσει πρὸς τὸ κατὰ πρύμναν, Σοφ. Φιλ. 639. **2)** μεταφορ., **πρῷρα** βιότου, ἡ πρῷρα τοῦ πλοίου τοῦ βίου, δηλ. ἡ πρώτη νεότης, Εὐρ. Τρῳ. 103· ὦ **πρῷρα** λοιβῆς Ἑστία, ἡ πρώτη ἔχουσα δικαιώματα σπονδῆς, Σοφ. Ἀποσπ. 650b· πάροιθεν **πρῴρας**., καρδίας, ἔμπροσθεν τῆς καρδίας μου, Αἰσχύλ. Χο. 390 (ἐντεῦθεν τὰ σύνθετα **καλλίπρωρος**, **βούπρωρος**, κτλ.).

πρωράζω, = **πρωρατεύω**, Ἡσύχ.

πρῴρᾰθεν, Ἰων. **-ηθεν**, παρὰ ποιηταῖς πρὸ συμφώνων, **-θε ἐπίρρ.**· (**πρῷρα**)· — ἐκ τῆς πρώρας τοῦ πλοίου, ἐκ τοῦ προσθίου μέρους, Πινδ. Π. 4. 39., 10. 81, Θουκ. 7. 36, κτλ.· — εἶναι ἀρχαία γενικὴ ὡς φαίνεται ἐκ τῶν φράσεων ἐκ **πρῴραθεν**, ἀντίθετον τῷ κατὰ πρύμναν, Θεόκρ. 22. 11· ἀπὸ πρ. Κόϊντ. Σμ. 14. 378.

πρωρᾰτεύω, εἰμὶ **πρωράτης**, Ἀριστοφ. Ἱππ. 543, Δημάδ. παρὰ Πλουτ. Κλεομ. 27.

πρωράτης [ᾰ], ὁ, **πρωρεύς**, ἀντίθετ. τῷ **πρυμνήτης**, prorēta (Plaut.), Ξεν. Ἀθην. 1. 2, Πολυδ. Δ', 95· μεταφορ., πρ. στρατοῦ Σοφ. Ἀποσπ. 470.

πρωρᾰτικός, ἡ, όν, ὁ ἀνήκων ἢ ἁρμόζων εἰς **πρωράτην**, Πολυδ. Δ', 89.

πρωρ-αχθής, ές, πεφορτωμένος κατὰ τὴν **πρῷραν**· μεταφορ., κεκλιμένος, κεκαμμένος πρὸς τὰ ἔμπρός, ἐπὶ γέροντος, Ἡσύχ.

πρωρεύς, έως, ἡ, ὡς καὶ νῦν, ὁ κατὰ τὴν πρῷραν πλοίου ἀγρυπνῶν ναύτης ἢ ἀξιωματικὸς ὡς ὁ κυβερνήτης κατὰ τὴν πρύμναν (πρβλ. **πρωράτης**), «σκοπός», Ξεν. Ἀν. 5. 8, 20, Οἰκ. 8. 14, Δημ. 884. 5, Ἀριστ. Πολιτ. 3. 4, 2, κτλ.· — παρ' Ὅμ. ὡς κύρ. ὄνομά τινος ἐκ τῶν Φαιάκων, Ὀδ. Θ. 113, πρβλ. **Πρυμνεύς**.

πρῴρηθεν, Ἐπίρρ. Ἰων. ἀντὶ **πρῴραθεν**.

πρωρήσια, τά, = **κόρυμβα**, Ἐτυμολ. Μέγ. 177. 47.

πρώσας, **πρῶσον**, **πρῶσις**, ἴδε ἐν λ. **προωθέω**, **πρόωσις**.

πρωτ-άγγελος, ον, ὁ πρῶτος ἀγγέλλων, μετὰ γεν., Ἀνθ. Π. 9. 383, Νόνν. Εὐαγγ. κ, Ἰω. α', 46.

Πρωτᾰγόρειος, α, ον, ὁ εἰς τὸν Πρωταγόραν ἀνήκων, μῦθος Πλάτ. Θεαίτ. 126C, 164D.

πρωτ-άγριον, τό, αἱ ἀπαρχαὶ τῆς ἄγρας, ἡ πρώτη ἄγρα, τὰ πρῶτα ἀγρευθέντα ζῷα, Καλλ. εἰς Ἄρτ. 104· ὡς ἐπὶ τὸ πλεῖστον ἐν τῷ πληθ., Ἀνθ. Π. 9. 650, 8, Νόνν. Δ. 37. 467, κτλ.

πρωτᾰγωνιστέω, εἰμαι πρωταγωνιστής, Πλουτ. Λύσανδρ. 23· — μεταφορ., προηγοῦμαι, προπορεύομαι, εἰμαι ἀρχηγός, πρωτεύω, ἔχω τὰ πρωτεῖα, Ἀριστ. Πολιτ. 8. 4, 5· τινος, εἴς τι πρᾶγμα, Πλούτ. 5. 332D, 1141D.

πρωτ-ᾰγωνιστής, οῦ, ὁ, ἐπὶ τῆς σκηνῆς, ὁ παριστάνων τὸ κύριον πρόσωπον, ὁ πρῶτος ἠθοποιὸς θεάτρου, Λατιν. primarum partium actor, Πλούτ. 2. 816F· πρ. τοῦ δράματος Λουκ. π. Διαβολ. 7· μεταφορ., λέγεται ὅτι ὁ Αἰσχύλος κατέστησε τὸν διάλογον πρωταγωνιστὴν (δηλ. νὰ εἶναι τὸ κύριον μέρος) τοῦ δράματος, Ἀριστ. Ποιητικ. 4. 16· πρ. τῆς ὑπηρεσίας Κλέαρχ. παρ' Ἀθην. 257B, πρβλ. Ἐτυμολ. Μέγ. 612. 51.— Ἴδε Κόντου Γλωσσ. Παραρατηρ. σ. 415.

πρωτ-αθλος, ὁ, = **πρωτομάρτυς**, Συλλ. Ἐπιγρ. 8737, Ἐκκλ·

πρωτ-αίτιος, ον, ὡς καὶ νῦν, (Walz) Ρήτορες 6. 412, Σχόλ. εἰς Εὐρ. Ὀρ. 553, Ἄννα Κομν. σ. 362A, κτλ.

πρωτ-αίχμεια, τά, = **πρωτόλεια**, Λυκόφρ. 469· ἴδε **πρωτόλειος**.

πρωτ-ἀπόστολος, ὁ, ὁ πρῶτος τῶν Ἀποστόλων, ὁ Πέτρος, Κεδρ. 1, 760, κτλ.

πρωτ-άρχης, ου, ὁ, = τῷ **πρώταρχος**, Μανέθων 1. 324., 4. 399.

πρωταρχία, ἡ, τὸ οὐσιαστικὸν τοῦ **πρωτάρχης**, ἡ θεία σου (!) πρωταρχία (περὶ τοῦ Πάπα) Θ. Στουδ. σ. 1020, ἔκδ. Mi., Συναγ. Λέξ. Ἀθησ. Κουμανούδη.

πρώτ-αρχος, ὁ, ὁ πρῶτος, ὁ ἀρχικός, πρ. ἅτα Αἰσχύλ. Ἀγ. 1192.

πρωταρ(χοῦντος) τοῦ δεῖνα, ὄντος πρωτάρχου, Ἐπιγρ. Καλλιπόλεως τῆς ἐν Θράκῃ, Bul. de cor. hel. II, σ. 403.— **πρωταρχοῦντες**, Θ. Στουδ. σελ. 1628, ἔκδ. Mi., Συναγ. Λέξ. Ἀθησ. Κουμαν.

πρωταύλεις, ὁ, protaules, Ἐπιγρ. Λατιν. Ρώμης, Orelli inscr. lat, 2783.— Πρβλ. τὰ ἐν τοῖς λεξικοῖς **μοναύλης**, **τυμβαύλης**, **χοραύλης**, Συναγ. Λέξ. Ἀθησ. Κουμαν.

πρωτ-έγγρᾰφος, ον, ὁ πρῶτος ἐγγεγραμμένος, ἴδε **ἐπέγγραφος**.

πρωτεία, ἡ, = **πρωτεῖον**, Ἰουστῖν. Μ. 193A καὶ Β.

Πρωτεΐζω, τό, μιμοῦμαι τὸν Πρωτέα, Εὐστ. Πονημ. 261. 11.

πρωτεῖον, τό, (πρωτεύω) ἡ πρώτη τάξις, ἡ πρώτη θέσις, τὸ πρ. ἔχειν Δημ. 151. 8, πρβλ. 331. 24, Διόδ. 1. 2, κτλ. — **ἀλλ'** ὡς ἐπὶ τὸ πλεῖστον ἐν τῷ πληθ., τὰ πρῶτον βραβεῖον, τὰ πμῶτον μέρος ἢ ἡ πρώτη θέσις, Πλάτ. Φίλησ. 22E, 33C, Δημ. 247. 5· τὰ πρ. φέρεσθαι Διον. Ἁλ. π. Συνθ. 24· τῶν πρ. ὀρέγεσθαι Διόδ. 17. 54.

πρωτ-είρης, ου, ὁ, (εἴρην) Σπαρτιάτης νεανίας κατὰ τὸν 20ὸν ἔτος τῆς ἡλικίας του, «πρωτείρας οἱ περὶ τὰ εἴκοσι ἔτη παρὰ Λάκωσι» Φώτ. ἐν λ. **καταπρωτείρας**, πρβλ. **μελλείρην**· ἴδε Müller Dor. 4. 5 § 2 ἐν τῇ σημειώσει.

πρωτ-εικάζω, ὁ, ὁ πρῶτος δικαστής· **πρωτεικάζω**, ἐνεργῶ ὡς πρ. — **πρωτεικαστικός**, ἡ, όν, ὁ ἀνήκων ἢ ἁρμόζων εἰς **πρωτείκαστον**. — **πρωτεικαστεῖον**, τό, τὸ δικαστήριον τοῦ πρ.·—λέξεις τῶν Βυζαντ.

τυφλο-πλαστέομαι, Παθ., πλάττομαι τυφλός, «τυφλοπλαστεῖται, τυφλὸς πλάττεται» Σουίδ. «τυφλοπλαστεῖται· τυφλὸς ἀναπλάττεται» Φώτ., ἴδε τὸ ἑπόμ.

τυφλο-πλάστης, ου, ὁ, ὁ πλάττων μωρὰ ψεύδη, γόης, τερατολόγος, τὰς ματαίους, καὶ χλεύης ἀξίας μυθογράφων ἢ μιμολόγων ἢ τυφλοπλαστῶν τὰ μηδενὸς ἄξια σεμνοποιούντων μακρὰς ῥήσεις Φίλων 2. 345, 29.

τυφλο-πλαστέω, πλάσσω τι τυφλῶς, Φίλων 1. 521, 654 (μετὰ διαφόρ. γραφῆς **τυφο-**).

τυφλο-ποιός, όν, ὁ ποιῶν τινα τυφλόν, ὁ τυφλῶν, τυφλώνων, Σχόλ. εἰς Θεόκρ. 10. 19, Εὐστάθ. 1769. 52· ἐπὶ τοῦ Ἔρωτος, ὁ Ἔρως τυφλός, ἤγουν τυφλοποιός· ποιεῖ γὰρ τοὺς ἐρῶντας τὰ μὴ καλὰ καλὰ ἡγεῖσθαι Εὐδοκ. Μακρεμβολ. Ἰω. ιά 158.

τυφλοποντικός, ὁ, ὡς καὶ νῦν, κοινῶς «τυφλοπόντικας», ἀσπάλαξ λέγεται ὁ τυφλοποντικὸς Glossa Galeano Photii codi i ad crip ta p. 611.

τυφλόπους, οδος, ὁ, ἡ, ὁ ἔχων τυφλοὺς πόδας (ὡς τὸ τοῦ Μίλτωνος 'these dark steps'), ἐπὶ τοῦ Οἰδίποδος, ἃ πόδα σὸν τυφλόπουν θεραπεύμασιν αἰὲν ἐμόχθει Εὐριπ. Φοίν. 1549, ἔνθα ἴδε Πόρσωνα.

τυφλός, ή, όν, (ἴδε ἐν τέλει), παρ' Ὁμήρ. μόνον ἐν Ἰλ. Ζ. 136, Ὕμν. εἰς Ἀπόλλ. 172, ἀλλὰ σύνηθες παρὰ πᾶσι τοῖς λ ιποῖς συγγραφεῦσι· τυφλὸς ἐκ δεδορκότος Σοφ. Ο. Τ. 454· τ. Ἄρης, Πλοῦτος, Ἔρως ὁ αὐτ. ἐν Ἀποσπ. 729, Θεόκρ. 10. 19 κέξ.· τ. ὄψις, ὀφθαλμοί Εὐρ. Κύκλ. 697, Πλάτ., κλπ.· μετὰ γενικ., τ. τινος, τυφλὸς πρός τι πρᾶγμα, Ξεν. Συμπ. 4, 12 (πρβλ. **τυφλόω** I)· — τὰ τυφλὰ τοῦ σώματος, δηλ. τὰ νῶτα ἢ ὀπίσθιά τινος, ὁ αὐτ. ἐν Κύρ. 3. 3, 45. — Παροιμ., οὐ μέν τοι παρὰ κωφὸν ὁ τυφλὸς ἔοικε λαλῆσαι Κρατῖνος ἐν «Ἀρχιλόχοις» 3· καὶ τυφλῷ γε δῆλον, ἀκόμη καὶ τυφλὸς δύναται νὰ ἴδῃ τοῦτο, Πλάτ. Πολ. 550D. **2)** ἐπὶ τῶν μελῶν τοῦ σώματος τοῦ τυφλοῦ, τ. πούς Εὐρ. Ἑκάβ. 1050, Φοίν. 834, κλπ.· (πρβλ. **τυφλόπους**)· χεὶρ αὐτόθι 1699· οὕτω, βάκτρον, τοξεύματα ὁ αὐτ. ἐν Ἴωνι 744, Ἡρ. Μαιν. 199. **3)** μεταφορ. ἐπὶ τῶν ἄλλων αἰσθητηρίων καὶ τῆς διανοίας, τ. ἠτορ Πινδ. Ν. 7. 34· τυφλὸς τά τ' ὦτα, τόν τε νοῦν, τά τ' ὄμματ' εἶ Σοφ. Ο. Τ. 371· τὴν τέχνην ἔφυ τ. αὐτόθι 389. **4)** μεταφορ., τ. ὄλβος Εὐρ. Ἀποσπ. 773· φύσις ἄνευ μαθήσεως τυφλὸν Πλούτ. 2. 2B· τῇ τύχῃ .. ἣν τυφλὴν λοιδοροῦμεν αὐτόθι 98A· τ. ἔδραμε πᾶσα τρόπις Ἀνθ. Π. 9. 289. **II.** ἐπὶ πραγμάτων, σκοτεινός, ἀόρατος, ἀσαφής, ἄγνωστος, ἄδηλος, ἐλπίδες Αἰσχύλ. Πρ. 250· ἄτη Σοφ. Τρ. 1104· τὸ δ' αὔριον τυφλὸν αἰὲν ἕρπει ὁ αὐτ. ἐν Ἀποσπ. 685· τ. σπιλάδες Ἀνθ. Π. 7. 275· αἱ ἄνευ ἐπιστήμης τυφλαὶ δόξαι Πλάτ. Πολ. 506C· δεσμῶν τ. ἀρχαί, κεκρυμμέναι, Πλουτ. Ἀλέξ. 18· τ. πάνυ καὶ κρύφιον ὁ αὐτ. 2. 983D· ἀσαφὴς καὶ τ. ὑπόνοια αὐτόθι 587C, κλπ. **2)** κεκλεισμένος, ἄνευ ἐξόδου, τοῦ ἑντέρου τυφλόν τι, τὸ intestinum coecum (τὸ τυφλὸν παρὰ Γαληνῷ), Ἀριστ. π. Ζ. Μορ. 3. 14, 20, πρβλ. 26· τ. ὁδοὶ Αἰλ. παρὰ Σουίδ.· ἐπὶ ποταμῶν καὶ λιμένων πεφραγμένων δι' ἰλύος ἢ πηλοῦ, Πλουτ. Σύλλ. 20 (ἴδε τὸ ἑπόμ.), πρβλ. τὸν αὐτ. ἐν Καίσ. 58· — τυφλὸς ὄζος, κλάδος ἄνευ ὀφθαλμῶν ἢ «μπουμπουκίων», εἰσὶ δὲ τῶν ὄζων οἱ μὲν τυφλοὶ οἱ δὲ γόνιμοι Θεοφρ. π. Φυτ. Ἱστ. 1. 8, 4, π. Φυτ. Αἰτ. 3. 2, 8· τ. κῦμα, σκοτεινόν, μαῦρον, Ἀνθ. Π. 7, 400., 12. 156· (οὕτω, caecis in undis Οὐεργ.)· τ. μώλωψ, κεκρυμμένον τραῦμα, Πλουτ. Αἰμίλ. 19. **III.** Ἐπίρρ., τυφλῶς ἔχειν πρός τι Πλάτ. Γοργ. 479H· τ. καὶ ἀσκέπτως Ἀντιφ. παρὰ Στοβ. 418· τ. καὶ οὐ γνωρίμως Στράβ. 442. (Τὸ **τυφλὸς** εἶναι ἴσως συγγενὲς τῷ **τύφω**, ἐπὶ τῆς σημασίας ὁμιχλώδης, σκοτεινός, πρβλ. **τῦφος** II, **τυφεδανός**).

τυφλό-στομος, ον, ὁ ἔχων τυφλὸν στόμιον, πεφραγμένον, ἐπὶ ποταμῶν, Στράβ. 183· πρβλ. **τυφλός** II, 2· τυφλοστόματα Νείλου Εὐστ. εἰς Ἰλ. σ. 160, 17.

τυφλότης, ἡ, ἡ ἰδιότης τοῦ τυφλοῦ, Πλάτ. Πολ. 533C, κλπ. **II.** μεταφορ. ἐπὶ τῶν ἀφώνων πραγμάτων, Πλούτ. 2. 738C.

τυφλο-φόρος, ον, ὁ φέρων τυφλὸν ἄνθρωπον· — ἐν τῇ τοῦ Θεόκρ. Σύριγγι (Ἀνθολ. Π. 15. 21) λέγεται ὅτι εἶναι = τῷ **πηροφόρος**, ὁ φέρων πήραν ἢ σάκκον· ἐν παιδιᾷ — ὡς εἰ, ἐπειδὴ τὸ ἐπίθ. **πηρός** σημαίνει **τυφλός**, ἄρα καὶ τὸ **τυφλὴ πήρα**.

τυφλόω, ὡς καὶ νῦν, κοινῶς «τυφλώνω, τινα Ἡρόδ. 4. 2· ὄμμα, ὄψιν Εὐρ. Κύκλ. 470, Φοίν. 764 — Παθ., τυφλώνομαι, γίνομαι τυφλός, Ἡρόδ. 2. 111· τυφλοῦμαι φέγγος ὀμμάτων Εὐρ. Ἑκ. 1035· τυφλοῦσθαι περί τι Πλάτ. Νόμ. 731E· πρβλ. **τυφλός** I. — ἐν Σοφ. Ἀντ. 973, τυφλωθὲν ἕλκος θὰ σημαίνῃ ἕλκος ἐν ᾧ ὑπάρχει τυφλότης, (ἀλλὰ τὸ χωρίον εἶναι ἀμφίβ.· ἴσως ἡ γνώμη τοῦ Linwood εἶναι ἡ ἀρίστη, καθ' ἣν πρέπει νὰ ἀνταλλάξωμεν τὰς θέσεις των αἱ δύο μετοχαὶ ὧδε: ἕλκος ἀραχθὲν .. ὀμμάτων κύκλοις τυφλωθέντων), ἀλλ' ἴδε σημ. Jebb., ὅστις διατηρεῖ τὴν γραφὴν τῶν Ἀντιγράφων. **2)** μεταφορ., τυφλώνω, ἀμβλύνω, ματαιώνω, Κριτίας παρὰ Σέξτ. Ἐμπ. π. Μ. 9. 54· οὗτοι τετύφλωται μακρὸς μόχθος ἀνδρῶν Πινδ. Ι. 5 (4). 72· τῶν μελλόντων τετύφλωνται φραδαί, ἡ σοφία εἶναι τυφλὴ ὡς πρὸς τὸ μέλλον, δηλ. ἀνωφελής, ὁ αὐτ. ἐν Ο. 12. 13, πρβλ. Πλάτ. Τίμ. 47B· τὴν ψυχὴν τυφλωθῆναι ὁ αὐτ. ἐν Φαίδωνι 99F, πρβλ. 96C· τ. περὶ τὸν φιλούμενον ὁ φιλῶν ὁ αὐτ. ἐν Νόμ. 731E. **II.** ποιῶ τι τυφλόν, δηλ. ἀποφράττω, κλείω, τὰς διόδους ἀμάξαις Αἰν. Τακτ. 2· τ. ὀφθαλμοὺς ἀμπέλου Γεωπον.· τ. τὸν μασθόν, κάμνω τὸν μαστὸν νὰ μὴ δίδῃ πλέον γάλα, Αἰλ. π. Ζ. 3. 39. — Παθ., βλάστησις τυφλουμένη Θεοφρ. π. Φυτ. Αἰτ. 5. 17, 7· οὖρα τυφλοῦντα Νικ. Ἀλεξ. 340· ἡ φωνὴ τυφλοῦται Πλούτ. 2. 721B· — ὡσαύτως ἐν τῷ μέσῳ τύπῳ, ἀμφὶ δὲ δοιοὺς εἰκῇ ἐπιφράσσουσα πόρους τυφλώσατο νηδὺς ὑγρῶν τε, βρωτῶν τε, καταπνίγουσα δὲ πνεῦμα ἐντὸς ὑποβρομέει Νικάνδρ. Ἀλεξ. 285. — Ἴδε Κόντου Γλωσσ. Παρατηρ. σ. 203.

τῡφλωσις, εως, ἡ, (τυφλόω) τὸ τυφλοῦν, καταποντισμοὺς καὶ τυφλώσεις καὶ τοσαύτας τὸ πλῆθος κακοποιίας, ὥστε μηδένα πώποτ' ἀπορῆσαι τῶν εἰθισμένων καθ' ἕκαστον τῶν ἐνιαυτῶν εἰσφέρειν εἰς τὸ θέατρον τὰς τότε γεγενημένας συμφορὰς Ἰσοκρ. 258A. **II.** τυφλότης, τοῖσι μελαγχολικοῖσι νουσήμασι, ἐς τάδε ἐπικίνδυνοι αἱ ἀποσκήψιες ἢ ἀπόπληξιν τοῦ σώματος ἢ σπασμόν, ἢ μανίην ἢ τύφλωσιν σημαίνουσιν Ἱππ. Ἀφορ. 1258, Σχόλ. εἰς Ἀριστοφ. Πλ. 115· Σόδομα μέν τοι στείρωσις καὶ τύφλωσις ἑρμηνεύεται Φίλων τ. 1, σ. 389, 10.

τυφλωτικός, ή, όν, ὁ τυφλῶν, ὁ δυνάμενος νὰ προξενήσῃ τύφλωσιν, τυφλωτικὸς ὁ ἥλιος Πέτρου Σικ. Ἱστορ. Μανιχ. σελ. 20, 13.

τυφλώττω, εἶμαι τυφλός, ἐλελήθην τὴν ψυχὴν τυφλώττουσαν περιφέρων Λουκ. Νιγρ. 4, πρβλ. Κικ. πρὸς Ἀττικ. 2. 19· περί τι Πολύβ. 2. 61, 12. **2)** εἶμαι ἀσαφής, δυσδιάγνωστος, ἐπὶ γραφῆς, μνημονευόμ. ἐκ τοῦ Φιλοστρ. (Ἐσχηματίσθη κατὰ τὸ **λιμώττω** ἐκ τοῦ **λιμός**, **ὀνειρώττω** ἐκ τοῦ **ὄνειρος**). — Ἴδε Κόντου Γλωσσ. Παρατηρ. σ. 203-206.

τυφλ-ώψ, ῶπος, ὁ, ἡ, (ὤψ) ὁ τυφλὸς τοὺς ὤπας, τυφλὸς τοὺς ὀφθαλμούς, τυφλός, καὶ ἔτι ποὺ τυφλῶπες ἀπήμαντοι φορέονται, «τυφλῶπες, οἱ καλούμενοι τυφλῖνοι· οἵ καὶ παρούμενοι ἠρεμοῦσιν» (Σχόλ.), Νικ. Θηρ. 492, ἴδε ἐν λέξ. **τυφλίνης**.

τυφο-γέρων, οντος, (τύφω) ἀνόητος καὶ μωρὸς γέρων, τοῦ ὁποίου ὁ νοῦς εἶναι ἐσκοτισμένος καὶ συγκεχυμένος ἐκ τῆς ἡλικίας,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

«ξεκουτιασμένος» (πρβλ. τυφεδανός), τυφογέρων εἶ κἀνάρμοστος Ἀριστοφ. Νεφ. 908, Λυσιστρ. 335 — ἴσως μετὰ παιδιᾶς ἐπὶ τῆς λέξ. τυμβογέρων.

τῡφο-μανής, ές, (τῦφος) μαινόμενος ἐκ τύφου, ὑπερηφανίας, τὸ ἄγαν τυφομανὲς Νικήτ. Χρον 335C.

τῡφο-μᾰνία, ἡ, μανιώδης ὑπερηφανία, ματαιοφροσύνη, Στωϊκή τις αὕτη τυφομανία Πλούτ. 2. 83 B· πρβλ. τυφωμανία.

τυφο-πλαστέω, ἐπινοῶ ψεύδη ἐξ ὑπερηφανίας καὶ ματαιοφροσύνης, διάφορ. γραφ. ἀντὶ τυφλοπλ-.

τῦφος, ὁ, (τύφω) καπνός, ἀχλύς, ἀτμός, Ἀνθ. Π. 7. 326. **II.** μεταφορ., ἀλαζονεία, ματαιοφροσύνη (ἐπειδὴ αὕτη ὡς ἀχλὺς ἐπισκοτίζει τὸν νοῦν τοῦ ἀνθρώπου), τὸν τρόπον μὲν οἶσθά μου ὅτι τῦφος οὐκ ἔνεστιν Ἀντιφάνης ἐν «Προγόνοις» 1, 2, Μένανδρος ἐν «Ἱπποκόμῳ» 1. 7· καθόλου, ἀνοησία, ἀφροσύνη, μωρία, συχνὸν παρὰ μεταγεν. πεζογράφοις, οἷον Πλουτ. 2. 81C, E, κλπ.· πρβλ. Gataker εἰς Μᾶρκ. Ἀντωνῖν. 2. 17., 6. 13. **2)** νάρκη καὶ λήθαργος ἐκ πυρετοῦ, κτλ., Ἱππ. 553 6· πρβλ. τυφώδης.

τῡφόω, (τῦφος) περιβάλλω διὰ καπνοῦ, πληρῶ καπνοῦ· ἀλλ' ἐν χρήσει μόνον μεταφ., πληρῶ τὴν κεφαλήν τινος τύφου, ἀλαζονείας, ἐπισκοτίζω τὴν διάνοιάν τινος, ἀλαζονείαν καὶ τῦφον ἐμποιῶ (πρβλ. τῦφος), Πλούτ. 2 59A· τ. τινα εἰς ἐλπίδα μειζόνων πραγμάτων Ἡσῳδιαν. 6. 5·—ὡς ἐπὶ τὸ πλεῖστον ἐν τῷ πρκμ. τετύφωμαι, εἶμαι πλήρης τύφου καὶ ἀλαζονείας, εἶμαι ἐκτὸς ἐμαυτοῦ δι' ὑπερηφανίαν, εἶμαι παράφρων (πρβλ. τυφώδης), ὦ τετυφωμένε Πλάτ. Ἱππ. Μείζ. 290A· ληρεῖν καὶ τετυφῶσθαι Δημ. 116 6 οὐ δὴ ποιήσω τοῦτο· οὐχ οὕτω τετύφωμαι ὁ αὐτ. 229. 1, πρβλ. 719· 16· ἐπὶ τῶν ἀποτελεσμάτων τοῦ οἴνου, Ἀριστ. Προβλ. 3 16· μετὰ δοτικ. τρόπου ἢ ὀργάνου, τετυφωμένος τοσαύταις εὐτυχίαις Στράβ. 686 ἐπὶ πλούτοις τε καὶ ἀρχαῖς Λουκ. Νεκυομ. 12. (Ὁ Ἀρποκρ. ἑρμηνεύει τὸ τετύφωμαι διὰ τοῦ ἐμβεβρόντημαι, ὡς εἰ ἡ μανία ἣν σημαίνει τὸ ῥῆμα εἶναι ἀποτέλεσμα τυφῶνος ἤτοι θυέλλης μετὰ βροντῶν).

τύφω [ῡ], ἀόρ. ἔθυψα. Ἡσύχ., Σουΐδ.· πρκμ. τέθῡφα, Κρώβυλος ἐν «Ἀπολιπούσῃ» 1, (κατὰ Meineke ἀντὶ τέθαφε).— Παθ., μέλλ. τῡφήσομαι (ἐκ-) Μένανδρ. ἐν «Φιλαδέλφοις» 4· ἀόρ. ἐτύφην (ἐπ-) Ἀριστοφ. Λυσ. 221· πρκμ. τέθυμμαι Αἰσχύλ. Ἱκέτ. 186, (ἐπι-) Πλάτ. Φαῖδρ. 230A (Ἐκ τῆς √ΤΥΦ ἢ ΘΥΦ (ἥτις φαίνεται οὖσα ἐκτεταμένος τύπος τῆς √ΘΥ, θύω) παράγονται αἱ λέξεις τῦφ-ος, τυφ-ῶν, τυφ-ώς, τυφ-εδών, τυφ-εδανός, ἴσως δὲ καὶ τὸ τυφ-λός· πρβλ. Σανσκρ. dhûp, dhûp-ayâmi (fumigo), dhûp-as (thus)· Μέσ. Γερμ. dimpf-en (dampfen, καπνίζω).) Ἐγείρω καπνόν, μετὰ συστοίχ. αἰτ., καπνὸν τύφειν Ἡρόδ. 4. 196·—ἀπολ., καπνίζω, κηκίς.. ἔτυφε κἀνέπτυε Σοφ. Ἀντ. 1009. **II.** μεταβ., καπνίζω τι, διὰ καπνοῦ περιβάλλω, τῦφε πολλῷ τῷ καπνῷ (ἐξυπακ. τοὺς σφῆκας), «καίων δίωκε» (Σχόλ.), Ἀριστοφ. Σφ. 457. — Παθητ., [μέλισσαι] καπνῷ τυφόμεναι Ἀπολλ. Ρόδ. B. 134. **2)** μεταφορ., καπνῷ τύφω πόλιν, γεμίζω τὴν πόλιν μὲ καπνόν, «ζαλίζω», μωραίνω τοὺς κατοίκους, Ἀριστοφ. Σφ. 1079· πρβλ. ὑφάπτω παρὰ Δημ. 977. 7, ἔνθα φαίνεται ὅτι τὸ ὑφάπτειν ἐν μεταλλείῳ ἐτιμωρεῖτο ὡς ἀδίκημα. **3)** καταστρέφω ἐν καπνῷ, καίω δι' ἡσύχου καὶ καπνίζοντος πυρός, βραδέως καὶ κατ' ὀλίγον καίω, τύφετ' ὦ, καίετ' ὦ τὸν Αἴτνας μηλονόμον Εὐρ. Κύκλ. 659 τ. τὸν χόρτον Διόδ. 3. 29 μεταφ., Κρώβυλ. ἔνθ' ἀνωτ.— Παθ., καπνίζω, καίομαι διὰ βραδέος πυρός, «κρυφοκαίομαι», τύφεται Ἴλιον Εὐρ. Τρῳ. 146, πρβλ. Βάκχ. 8· [χθὼν] καπνῷ κατερείπεται τυφομένα ὁ αὐτ. ἐν Ἑκ. 478· τυφέσθω Κύκλωψ ὁ αὐτ. ἐν Κύκλωπ. 655 —μεταφ., τυφόμενος πόλεμος, ὑποκαιόμενος, ἀλλὰ μήπω ἀρξάμενος, Πλουτ. Σύλλ. 6 τεθυμμένος ὠμῇ ξὺν ὀργῇ Αἰσχύλ. Ἱκ. ἔνθ' ἀνωτ. ὡσαύτως ἐπὶ ὑποκρυπτομένου ἔρωτος, πόθοις τυφόμενον γλυκὺ πῦρ Ἀνθ. Π. 12. 63, πρβλ. 92 πῦρ τύφεται ἐγκρύφιον 5. 124· δύσμορε, τυφομένη 131 καὶ πῦρ ἀπλήστῳ τύφετ' ἐνὶ κραδίῃ 11. 41· — πρβλ. ἐπιτύφομαι.

τῡφώδης, ες, [εἶδος] ὅμοιος καπνῷ· **II.** μεταφ., ἐπὶ τῶν πυρεσσόντων, παραληρῶν, Ἱππ. 1120D, κ. ἀλλ.·— ὡσαύτως ἐπὶ τοῦ πυρετοῦ, «τυφοειδής», ὁ αὐτ. 1046C, Γαλην.

Τῡφωεύς, έως, Ἐπικ. έος, ὁ· συνηρ. Τῡφώς, Πίνδ., Αἰσχύλ., γεν. Τυφῶ Αἰσχύλ. Θήβ. 517, Ἀριστοφ. Νεφ. 336 αἱ Τυφῶ Ἡρόδ. 3. 5, Ἀριστοφ. Ἱππ. 511·—γίγας τις ὃν ἔθαψεν ὁ Ζεὺς ἐν Κιλικίᾳ ὑπὸ τὴν γῆν τῶν Ἀρίμων (εἰν Ἀρίμοις), ὅπερ ὁ Οὐεργίλιος ἔτρεψεν εἰς Inarime, Αἰνειὰς 9. 716), Ἰλ. B. 782· ὁ νεώτατος τῶν υἱῶν τῆς Γῆς καὶ τοῦ Ταρτάρου, Ἡσ. Θ. 821· ἀλλ' ὁ Πίνδ. θέτει αὐτὸν ὑπὸ τὴν Αἴτνην, εἰς αὐτὸν ἀποδίδων τὰς ἐκρήξεις τοῦ ἡφαιστείου, πρβλ. Ὀβιδ. Μεταμορφ. 5. 347·—φαίνεται ὅτι ὁ Τυφωεὺς ἦτο τύπος τῶν ἡφαιστειωδῶν ἐνεργειῶν καθόλου, ἴδε Böckh Expl. Pind. P. 1, 13 (31)· πρβλ. τυφώς, Τυφῶν. [ῡ ἐν ταῖς τρισυλλάβοις πτώσεσι, ῡ δὲ ἐν ταῖς δισυλλάβοις, πρβλ. Τυφῶν].

τῡφω-μανία, ἡ, μετὰ ληθάργου καὶ παραληρημάτων μανία, «μικτόν τι ἐκ φρενίτιδος καὶ ληθάργου πάθημα» Γαλην. Ἱπποκράτους Γλωσσῶν Ἐξήγησις σ. 582, Ἱππ. 1122H, πρβλ. Λοβέκ. εἰς Φρύνιχ. 698· μεταφορ., Στωϊκή τις αὕτη τυφομανία Πλούτ. 2. 830B· συνιδὼν ὅτι σοι τὴν τυφομανίαν ἡ πραότης ἐξέκαυσεν Θεοφύλ. Βουλγαρ. τ. 3, σ. 584B.

Τῡφῶν, ῶνος, ὁ, Πίνδ., κλπ.· Ἐπικ. Τῡφάων, ονος, Ὕμν. Ὁμ. εἰς Ἀπόλλ. 306, 352, Ἡσ. Θ. 307· γεν. Τυφάωνος, Ὀππ. Ἀλ. 5. 217·— οὗ ὡς παρίσταται ὑπὸ τοῦ Ἡσ. ὡς υἱὸς τοῦ Τυφωέως καὶ πατὴρ τῶν ἀνέμων, πρβλ. Θεογ. 306 πρὸς στίχ. 867· τῆς Ἥρας, Ὕμν. Ὁμ. εἰς Ἀπόλλ. 306· ἀλλὰ παρὰ τοῖς μετέπειτα ποιηταῖς ὁ Τυφῶν καὶ ὁ Τυφὼς φαίνεται ὅτι συνεχέοντο, πρβλ. Πίνδ. Ο. 4. 12, Ἀποσπ. 93 πρὸς Π. 1. 31., 8. 21., Αἰσχύλ. Πρ. 370 πρὸς Θήβ. 493, Σχόλ. εἰς Πλάτ. Φαῖδρ. 230A. **II.** ὡς προσηγορικὸν ὄνομα, = τυφὼς II, κλύδων, θύελλα, ἀνεμοστρόβιλος, Ἀναξαγ. ἐν Στοβ. Ἐκλογ. 1. 592, Θεοφρ. περὶ Ἀνέμ. 34, Ἀριστ. Μετεωρ. 3. 1, 6 καὶ 8, περὶ Κόσμ. 4, 19. **2)** = τῦφος II, Πλούτ. 2, 1119C. **3)** εἶδος κομήτου, Ἰω. Λυδ. περὶ Μηνῶν 4. 73, Ἀνέκδ. Ὀξων. 3. 406. [ῡ ἐν τῷ δισυλλάβῳ τύπῳ Τυφῶν, ῡ ἐν τῷ τρισυλλάβῳ Τυφάων, ἀλλὰ ῡ ἐν τῇ σπανίᾳ γεν. Τυφάωνος· ᾱ ἐν τῇ καταλήξει —αων, ὡς ἐν τῷ Ποσειδάων].

Τῡφωνικός, ή, όν, ὁ ἀνήκων εἰς τὸν Τυφῶνα ἢ προερχόμενος ἐξ αὐτοῦ, Πλούτ. 2. 421C. **II.** (τυφῶν II) θυελλώδης, ἄνεμος τυφωνικὸς ὁ καλούμενος εὐροκλύδων Πράξ. Ἀποστ. κζ', 14· ὅσοι δὲ τῶν ἀνέμων κατὰ ῥῆξιν γίνονται νέφους, εἰ μὲν καὶ ἀνάλυσιν τοῦ πάχους ποιοῖντο πρὸς ἑαυτούς, τυφωνικοὶ ὀνομάζονται Νικηφ. Βλεμμίδ. Ἐπιτομ. Φυσ. 138C.

Τυφώνιος, α, ον, «Τυφώνια πνεύματα μανίαν ἐμποιεῖ ἐμπεσόντα» Ἀν. Βεκ. 308, 10 ἐν λέξ. τετύφωμαι· Ἐπικ. Τυφαόνιος, Καυκάσου ἐν κυημοῖσι, Τυφαονίη ὄθι πέτρα Ἀπολλ. Ρόδ. B. 1210, Νόνν.· Τυφώνειος Φωτ. Βιβλιοθ. 335. 40, Σουΐδ.· θηλ. Τυφαονίς, ίδος, Νόνν. **2)** Τυφώνιοι ἐκαλοῦντο ἄνθρωποι κατόμενοι κατά τινας περιστάσεις ἐν Αἰγύπτῳ, Μανέθ. παρὰ Πλουτ. 2. 380E· ὡσαύτως ἀναίσθητοι, μωροὶ ἄνθρωποι, Ἑρμῆς ἐν Στοβ. Ἐκλογ. 1. 1076.

τῡφωνο-ειδῶς, ἐπίρρημ. κατὰ τρόπον ὅμοιον ἀνεμοστροβίλῳ, κατὰ τὸν τρόπον θυέλλης, τὸ ἐκτεφρωθὲν τῆς γῆς μετεωρισμὸν λαβὸν κατασκῆψαι πάλιν τυφωνοειδῶς εἰς τὴν νῆσον Στράβ. 248.

Τῡφώς, ῶ, ὁ, συνηρ. ἀντὶ Τῡφωεύς, ὃ ἴδε, **II.** ὡς προσηγορ. τῡφώς, γεν. τυφῶ Αἰσχύλ. Ἀγ. 656, Ἱκέτ. 560, δοτ. τυφῷ Ἀριστοφ. Λυσ. 974 (ἀλλὰ μεταγενέστ. ἐχρῶντο τῷ τύπῳ τυφῶν, ῶνος, ἴδε ἐν λέξ. II)· — μανιώδης ἀνεμοστρόβιλος ὁρμῶν ἀπὸ τῆς γῆς μετὰ δίνης κονιορτοῦ, θύελλα, ἴσως ἐπειδὴ ἐνομίζετο ὡς ἔργον τοῦ Τυφωέως, Ἀλκαῖ. 65, Αἰσχύλ. καὶ Ἀριστοφ. ἔνθ. ἀνωτ., Σοφ. Ἀντ. 418.

τύφωσις, ἡ, ματαιοφροσύνη μωρὰ καὶ ἀνόητος, Τζέτζου Ἱστ. 10. 571.

τυχάδιον [ᾰ], τό, μεταγεν. ὑποκορ. τοῦ τύχη, Εὐστ. 1552. 31, ἴδε Λοβέκ. εἰς Φρύν. 74.

τῡχάζομαι, = στοχάζομαι, τυγχάνω, «τυχασάμενον, στοχασάμενον» Ἱππ. παρ' Ἐρωτιαν. 362, ἔνθα τυχεσσάμενον·— «τυχάζεσθαι· στοχάζεσθαι» Ἡσύχ.

Τῡχαῖον, τό, (Τύχη), ναὸς τῆς Τύχης, τὸν τὸ Τυχαῖον κατασκευάσαντα Συλλ. Ἐπιγρ. 2024· ἱερὸν πάλαι τοῖς δαίμοσιν ἀνειμένον, Τυχαῖον τοῖς ἐπιχωρίοις ὠνόμαστο Εὐαγρ. Ἐκκλ. Ἱστ. 1, 16, σ. 271. 8.

τῡχαῖος, α, ον, (τύχη) ὡς καὶ νῦν, κατὰ τύχην, Πλουτ. Νουμ. 10., 2, 878C· τὰ τυχαῖα, τὰ κατὰ τύχην συμβαίνοντα, Συνέσ. 166B·— Ἐπίρρ., ὡς καὶ νῦν, -ως, κατὰ τύχην, Ἀνθ. Π. 12. 222, Ἰωσήπ. Ἰουδ. Ἀρχ. 5. 9, 2. **II.** συνήθης, κοινός, ὡς τὸ ὁ τυχών, Εὐστ. Πανημ. 83 49.

τῡχεῖον, τό, (τύχη) παρὰ Βυζαντ., ναὸς τοῦ προστάτου τῆς πόλεως ὁ ἱμονος, τοῦ Genius urbis ἢ loci, Bast. Ep. Cr. σ. 55. **2)** τυχεῖα, τά, ἑορτή τις ἐν Λαμψάκῳ, Συλλ. Ἐπιγρ. 3644.

τύχη [ῡ], ἡ, Βοιωτ. τούχα Keil. Ἐπιγρ. 1 (περὶ τῆς ῥίζης, ἴδε τέκτω)· — τὸ ἀγαθόν, οὗ ἀξιοῦταί τις διὰ τῆς εὐνοίας τῶν θεῶν, καλὴ τύχη, εὐτυχία, ἐπιτυχία, Λατ. fortuna, δὸς ἄμμι τύχην εὐδαιμονίην τε Ὕμν. Ὁμ. 10. 5· μοῦνον ἀνδρὶ γένοιτο τ. Θέογν. 130· Ζεῦ, δίδοι τύχαν Πινδ. Ο. 13. 165· εἰ ἡ τ. ἐπίσποιτό τινι Ἡρόδ. 7. 10, πρβλ. 1. 32· ἐς τοσοῦτο τύχης ἀπικέσθαι ὁ αὐτ. 1. 124· τ. μόνον προσείη Ἀριστοφ. Ὄρν. 1315· σὺν τύχῃ Πινδ. Ν. 5 88, Σοφ. Φ. 775· σὺν τ. τινὶ Αἰσχύλ. Χο. 38, πρβλ. Θήβ. 472, Εὐρ. Ἠλ. 588· ὡσαύτως, τύχᾳ μολεῖν Πινδ. Ν. 10. 47·— πληρέστερον, τύχᾳ δαίμονος, τύχᾳ θεῶν ὁ αὐτ. ἐν Ο. 8. 88, Π. 8. 75· σὺν θεοῦ τύχᾳ, σὺν Χαρίτων τ. ὁ αὐτ. ἐν Ν. 6. 41., 4. 12· καὶ ἐν τῇ κοινῇ φράσει οὕτω, θείᾳ τύχῃ, Λατ. divinitus, Ἡρόδ. 1. 126., 4. 153, κ. ἀλ.· ἐκ θείας τ. Σοφ. Φ. 1317· ἐὰν θεία τις ξυμβῇ τ. Πλάτ. Πολ. 592A — ἐντεῦθεν ἡ Τύχη ἐθεοποιήθη ὡς ἡ παρὰ Λατίνοις Fortuna, Τύχη Σώτειρα Πινδ. Ο. 12. 3· Τ. Σωτὴρ Αἰσχύλ. Ἀγ. 661, πρβλ. Σοφ. Ὀ. Κ. 80, 1080· ἀλλὰ τοῦτο δὲν ἐπεκράτησεν ἐπὶ πολύ, καθότι

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀκολουθω· ἡ φράσις Τύχη τυφλὴ κατέστη κοινοτάτη, Meineke εἰ, Κωμ. Ἀποσπ. 3. 154. **II.** καθόλου, τύχη καλὴ ἢ κακή, — ὅπερ ὁρίζεται ἐκ τῶν συμφραζομένων, Ἀρχίλ. 14, Σιμων. 97, Ἡρόδ., κτλ.· τῆς τύχης εὖ μετεστεώσης Ἡρόδ. 1. 118· τὸ τῆς τ. Εὐρ. Ἄλκ. 785· τὰ τῆς τ. Σοφ. Ο. Τ. 977, Δημ., κτλ.· ἡ παροῦσα τ., ἡ παροῦσα κατάστασις, Αἰσχύλ. Πρ. 375, Θουκ. κτλ.· καὶ ἐν τῷ πληθ. αἱ παρεοῦσαι τ. Ἡρόδ. 7. 236, Ἰσοκρ., κτλ.· αἱ παρεστῶσαι τ. Εὐρ. Ὀρ. 1024· αἱ ἀμφότεραι τύχαι Λιβάν. 1. 357. **2)** σπανίως ἐπὶ κακῆς τύχης ἢ δυστυχίας, ἣν χρήσωνται τύχῃ, ὅ ἐστιν ἃ φονευθῶσιν, Εὐρ. Ἡρακλ. 714, πρβλ. Ἐκ. 786, Ἀνδοκ. 16. 3· τύχῃ, κατὰ κακὴν τύχην, ἀντίθετ. τῷ ἀδικίᾳ, Ἀντιφῶν 141. 21· τῷ προνοίᾳ, ὁ αὐτ. 130. 4· ἡ τ. τοῦ ἄρξαντος, τὸ δυστύχημα ἀποβίβα αἱ εἰς ἐκεῖνον ὅστις ἔλαμεν ἀρχὴν τῆς ταραχῆς· ἢ συγκρούσεως, ὁ αὐτ. 128. 43. **3)** τὸ εἶδος τῆς τύχης συχνάκις ὁρίζεται δι' ἐπιθετικοῦ προσδιορισμοῦ, ἡ ἀναγκαία τ. = ἀνάγκη, Σοφ. Αἴ. 485, 803, κ.λ.· ἀναγκαῖαι τ. Εὐρ. Ι. Α. 511· δούλειος τ. Πινδ. Ἀποσπ. 244· τ. παλίγκοτος Αἰσχύλ. Ἀγ. 571, κλπ.· ἐπὶ τύχῃσι χρηστῇσι Ἡρόδ. 1. 119· ἐπ' εὐμενεῖ τ. Πινδ. Ο. 14. 23· μετὰ τύχης εὐμενοῦς Πλάτ. Νόμ. 813Α· μάκαρι σὺν τύχῃ Ἀριστοφ. Ὄρν. 1723. **6)** τοῦτο ἦν κοινότατον ἐν τῇ Ἀττ., φράσει ἀγαθὴ τ. ἢ ἡ ἀγ. τ. Αἰσχύλ. Ἀγ. 755· Ἀριστοφ. Εἰρ. 360, Δημ. 1487. 4, κλπ.· πολλὴ ἀγ. τ. Πλάτ. Νόμ. 640D· σύνηθες ἐν προσευχαῖς καὶ ἐπὶ εὐχῆς, εὐχώμεσθα Διὶ .. θεσμοῖς τοῖσδε τύχῃ ἀγαθῇ καὶ κῦδος ὁπάσσαι Σόλων 29· θεὸς τ. ἀγαθὰν (ἔξυπ. κ. δότω) συχν. ἐν Δελφ. Ἐπιγραφαῖς· ἀλλὰ συνηθέστατον κατὰ δοτ. ἀγαθῇ τύχῃ, «μὲ τὸ καλό», Λατ. quod bene vortat, ἀλλ' ἴωμεν ἀγαθῇ τ. Πλάτ. Νόμ. 625C· ταῦτα ποιεῖτε ἀγ. τ. Δημ. 33. 14· οὕτω, τύχῃ ἀγαθῇ Ἀνδοκ. 16. 6, Πλάτ. Συμπ. 177E, κλπ.· καὶ παρὰ τοῖς κωμικ. ποιηταῖς μετὰ κράσεως, ἤγου δὴ σὺν τῷ τύχαγαθῇ Ἀριστοφ. Ὄρν. 675, πρβλ. 435, Ἐκκλ. 131, Νικόστρατος ἐν «Πανδρόσῳ» 2, ἴδε Κόντου Σχόλια ἐν Ἀθηνᾶς τόμ. Β', σελ. 546-547· — ἡ τυπικὴ αὕτη φράσις παρελαμβάνετο καὶ εἰς συνθήκας καὶ εἰς ἄλλα δημόσια ἔγγραφα, ὡς τὸ Λατιν. quod felix faustumque sit· Λάχης εἶπε, τύχῃ ἀγαθῇ τῇ Ἀθηναίων ποιεῖσθαι τὴν ἐκεχειρίαν Ψήφισμα παρὰ Θουκ. 4. 118, Stal.b. εἰς Πλάτ. Κρίτωνα 44D — οὕτω καὶ ἐπ' ἀγαθῇ τύχῃ Ἀριστοφ. Σφ. 869, πρβλ. Πλάτ. Νόμ. 757E· μετ' ἀγαθῆς τύχης ὁ αὐτ. 813A· τύχῃ ἀμείνονι, ἐπ' ἀμείνοσι τύχαις αὐτόθι 856E, 878A· μάκαρι σὺν τ. Ἀριστοφ. Ὄρν. 1722. **4)** Ἐπίρρημα καὶ χρήσεις: τύχῃ, κατὰ τύχην, τυχαίως, Λατ. forte, fortuito, Σοφ. Ἀντ. 1182, Φ. 546, Θουκ., κλπ.· ἀντίθετ. τῷ φύσει, Πλάτ. Πρωτ. 323D· ἀπὸ τύχης Λυσί. 162. 22, Ἀριστ. Ρητ. 1. 10, 7· ἀπὸ τ. ἀπροσδοκήτου Πλάτ. Νόμ. 920D — ἐκ τύχης ὁ αὐτ. ἐν Φαίδρ. 26 C, Πολ. 499B, κλπ.· ἐκ τινος τ. ὁ αὐτ. ἐν Τιμ. 25E· διὰ τύχην Ἰσοκρ. 67E, 197E, κλπ.· δίκαιος οὐδεὶς ἀπὸ τύχης οὐδὲ διὰ τὴν τύχην Ἀριστ. Πολιτικ. 7. 1, 10 — κατὰ τύχην Θουκ. 3. 49, Ξεν. Ἑλλην. 3. 4, 13, κλπ.· κατὰ τύχας Πλάτ. Νόμ. 73 C. **III.** τύχη, «κλῆρος», μοῖρα, ἐπὶ ταύτης δὲ τῆς σημασίας συνήθως συνάπτεται τὸ ἄρθρον, ἂν ὀνομάζῃ τις, ἤ τι ἐπίθετον, οἷον εὐκλεὴς ἀ τύχα Σιμωνίδης 5 (9)· τίς τ. ἐχθίων τῆσδε; Αἰσχύλ. Πέρσ. 438· ἥδε τ. Σοφ. Φ. 1098· οὐκ ἐν τύχῃ γίγνεταί σφισι, δὲν ἐξαρτᾶται ἐκ τῆς τύχης, Θουκ. 4. 73· τῆς τύχης, τὸ ἐμὲ τυχεῖν ..! Λατ. O infortunium! τί ἀτυχία, νὰ τύχω ..! Ξεν. Κύρ. 2. 2, 3· — οὕτω συχν. ἐν τῷ πληθ., Πίνδ., Ἡρόδ., Ἀττ.· ὁ πόλεμος φιλεῖ ἐς τύχας περιίστασθαι, νὰ ἐξαρτᾶται ἐκ τῆς τύχης, Θουκ. 1. 78, πρβλ. 69· τύχαι ὑμέτεραι, αἱ ἰδικαί σας τύχαι, Πινδ. Π. 8. 103· ἀλλὰ τὸ πλεῖστον ἐπὶ δυστυχημάτων, Αἰσχύλ. Πέρσ. 106, 182, 208, 302, κλπ.· πρβλ. Seidl. εἰς Εὐρ. Τρῳ. 361· οὐκ ἔχουσιν αἱ τ. φρένας Ἀλεξ. ἐν Ἀδήλ. 43. **2)** ἀβέβαιον ἀποτέλεσμα· ἀόριστος ἔκβασις, ταρβεῖν μὲν ἔργα δεῖν' ἀναγκαῖος ἔχει, τὴν δ' ἐλπίδ' οὐ χρὴ τῆς τύχης κρίνειν πάρος Σοφ. Τραχ. 724· ἄναξ, πεθοῦντι προὐφάνης, καί σοι θεῶν τύχην τις ἐσθλὴν τῆσδ' ἔθηκε τῆς δόδου ὁ αὐτ. ἐν Ο. Κ. 1506.

τύχη Εὔριπος, παροιμία, ἐπὶ τῶν ῥᾷστα μεταβαλλομένων καὶ ἀσταθμήτων ἀνθρώπων» Σουίδ.

τυχηρός, ά, όν, ὡς καὶ νῦν, ὁ ἔχων τύχην, κοινῶς «τυχερός», Αἰσχύλ. Ἀγ. 464, Ἀριστ. Πολιτ. 4. 11, 1. — Ἐπίρρ. -ρῶς, Ἀριστοφ. Ἀχ. 250, Θεσμ. 305. **2)** κατὰ τύχην, τυχαῖος, πάθη Διον. Ἀλ. 7. 68· τὰ τυχηρὰ ἀγαθά, τὰ τῆς τύχης ἀγαθά, Πλουτ. 2. 6A, κλπ.· οὕτω, τὰ τυχηρὰ αὐτόθι 35A, κλπ.· ἢ τὸ τυχηρὸν αὐτόθι 23E.

τυχικός, ή, όν, ὁ κατὰ τύχην συμβαίνων, τυχαῖος, αἰτία Διον. ἐν Εὐσ. Εὐαγγ. Προπ. 137D· σύμπτωμα Πολύβ. 9. 6, 5. — Ἐπίρρ. -κῶς, τυχικῶς πως συνέδη τὸν Ἄτταλον ποιήσασθαι τοὺς λόγους ὁ αὐτ. 28. 7, 1, κλπ.

τυχέμαιος, Ἐπίρρ. κατὰ τύχην, Γλωσσ.· ἴδε Λοβέκ. εἰς Φρύνιχ. 558.

Τῦχίος, ὁ, ἀρσ. κύριον ὄνομα, ὁ ποιῶν, κατασκευάζων τι (ἐκ τοῦ τεύχω, διότι κατασκεύαζεν ἀσπίδας, σάκος .. χάλκεον ἑπταβόειον, ὃ οἱ Τυχίος κάμε τεύχων Ἰλ. Η. 220).

τῦχόν, Ἐπίρρ., ἴδε τυγχάνω Β. ΙΙΙ. 2.

τῦχόντως, Ἐπίρρ., μετοχ. ἀορ. β' τοῦ τυγχάνω, κατὰ τύχην, τυχαίως, Ἀριστ. Ἠθικ. Νικ. 4. 3, 22, π. Ζ. Γεν. 4. 4, 11. — Ἴδε Κόντου Γλωσσ. Παρατηρ. σ. 253.

τύκος, ὁ, (τεύχω) = τύκος, Θέογν. 24.

Τύχων, [ῦ], ωνος, ὁ, (τύχη) ὁ θεὸς τῆς τύχης, ὡς Τύχη, ἡ θεά, Στράβ. 588, ὅστις φαίνεται ὅτι σχετίζει αὐτὸν πρὸς τὸν Πρίαπον, οὐδὲ γὰρ Ἡσίοδος οἶδε Πρίαπον, ἀλλ' ἔοικε τοῖς Ἀττικοῖς Ὀρθάνῃ καὶ κονισάλῳ καὶ Τύχωνι καὶ τοῖς τοιούτοις Διόδ. 4. 6· ὅθεν τινὲς παράγουσι τὴν λέξιν ἐκ τοῦ τεύχω, ὁ ποιῶν, δημιουργῶν, πρβλ. Wessel. ἐν τόπῳ. — ἀλλ' ἕτεροι σχετίζουσιν αὐτὴν πρὸς τὸν Ἑρμῆν, Κλήμ. Ἀλεξ. 80. Παρά τε τῷ Διοδώρῳ καὶ τῷ Κλήμεντι τὰ Ἀντίγραφα ἔχουσι Τύφωνα.

τύψις, εως, ἡ, κτύπημα, δάκρυα καὶ τ. προσώπου Ἰωσήπ. Ἰουδ. Ἀρχ. 19. 1, 17. **2)** τύμμα, Νίκ. Θηρ. 921, 933.

τῷ, δοτικ. ἐνικ. τοῦ οὐδετ. ἄρθρου τό, ἐν χρήσει· ἀπολ., ὅθεν, διὰ τοῦτο, κατὰ τοῦτον τὸν τρόπον, ἐπὶ τούτῳ, Ὅμ.· ἴδε ὁ, ἡ, τό, Β. VIII. 3. **II.** τῷ; ἀντὶ τίνι; δοτικ. ἐνικ. τοῦ τίς; ἀλλὰ· **2)** τῷ, ἐγκλ. ἀντὶ τινι, δοτικ. ἐνικ. τῆς ἀορίστου ἀντωνυμίας τις.

τῶγαλμα, κατ' Ἰωνικ. κρᾶσιν ἀντὶ τὸ ἄγαλμα, Ἡρόδοτος 2. 42, 141.

τωθάζω, Δωρικ. τωθάσδω· μέλλ. τωθάσομαι Πλάτ. Ἱππ. Μείζων 290A (τωθάσω Ἀριστοφ. Σφ. 1362 εἶναι ἀόρ. ὑποτακτ.)· ἀόρ. ἐτώθασα, Ἀριστοφ. ἔνθ' ἀνωτ., Ἀριστ. Ρητορ. 2. 4, 13, (ἐπ.) Ἱππ. 1281. 15· ἐτώθαξα Τζέτζ. Ἐμπαίζω, περιπαίζω, περιγελῶ, σκώπτω, μυκτηρίζω, τινά Ἡρόδ. 2. 60, Ἀριστοφ. Σφ. 1362, Πλάτ. ἔνθ' ἀνωτ.· πολλά τ. τινὰ Θεόκρ. 16. 9. — Παθ., μυκτηρίζομαι, χλευάζομαι, Πλάτ. Πολ. 474A. **2)** ἀπολ., ἐμπαίζω, χλευάζω, Ἀριστοφ. Σφ. 1368, Ἀριστ. Ρητορ. ἔνθ' ἀνωτ. — Ὡς παράδειγμα τοῦ τωθάζειν οἱ παλαιοὶ μνημονεύουσι τὸ ἐπίγραμμα τοῦ Ἐμπεδοκλείους ἐν Ἀνθ. Π. παράρτ. 21, ὃ ἴδε. — Καθ' Ἡσύχ.: «τωθάζει· χλευάζει, μετὰ κενοδοξίας σκώπτει. ἐρεθίζει. κατακαυχᾶται. λοιδορεῖ. θωπεύει. κακολογεῖ».

τωθασμός, ὁ, ἐμπαιγμός, μυκτηρισμός, ἐπιμελὲς ἔστω τοῖς ἄρχουσι μηδὲν μήτε ἄγαλμα μήτε γραφὴν εἶναι τοιούτων πράξεων (δηλ. ἀσχημόνων) μίμησιν, εἰ μὴ παρά τισι θεοῖς τοιούτοις οἷς καὶ τὸν τωθασμὸν ἀποδίδωσιν ὁ νόμος Ἀριστ. Πολιτικ. 7. 17, 10, Σουίδ. ἐν λέξ. Ἀδάμ.

τωθαστής, οῦ, ὁ, ὁ τωθάζων, περιπαίζων, χλευαστής, Πολυδ. Ϛ', 29. 123, Θ', 149, Ἡσύχ. ἐν λέξ. κόβαλος καὶ κομψόν.

τωθαστικός, ή, όν, ἐμπαίζων, χλευαστικός, ἐμπαικτικός, οὐ μόνον ἐκ τῆς ἐναγωνίου τε καὶ κατεσπουδασμένης ὀρχήσεως τῶν χορῶν ἀλλὰ καὶ ἐκ τῆς κερτόμου καὶ τωθαστικῆς Διον. Ἁλ. 7. 72· ἐπὶ προσώπων, Πολυδ. Ε', 161. — Ἐπίρρ., -κῶς, Διον. Λ. 4. 2, κλπ.

τωθεία, ἡ, = τωθασμός, Διον. Ἀλεξ. παρ' Εὐσεβ. ἐν Εὐαγγ. Προπ. 782C.

τὠληθές, κατ' Ἰωνικὴν κρᾶσιν ἀντὶ τὸ ἀληθές, Ἡρόδοτ. 6. 69.

τῶνδεων, Αἰολικὸ ἀντὶ τῶνδε (πρβλ. τοῖσδεσσι), Ἀλκαῖος 123.

τωνί = τοῦδε, τωνὶ τῷ ἐπιζαμίω, τοῦδε τοῦ ἐπιζημίου, Ἐπιγρ. Τεγέας, L. et F. 140. e.

τῶπιν· «μέτρον δεκαχοίνικον» Ἡσύχ.

τὠπό, τὠποδαίνων, κατ' Ἰωνικ. κρᾶσιν ἀντὶ τὸ ἀπό, τὸ ἀποδαίνον, Ἡρόδ. 1. 99, 2. 82.

τῷ ῥα· διὸ δή· Ἡσύχ.

τὠργείου, κατὰ Δωρικ. κρᾶσιν ἀντὶ τοῦ Ἀργείου, Πινδ. Ι. 2. 15.

τὠρχαῖον, κατ' Ἰωνικ. κρᾶσιν ἀντὶ τὸ ἀρχαῖον, Ἡρόδ. 1. 173.

τώς, δεικτικὸν ἐπίρρ. = ὥς, οὕτως, κατὰ τοῦτον τὸν τρόπον, ἀνταποκρινόμενον ποὸς τὸ ἐρωτημ. πῶς, καὶ πρὸς τὸ ἀναφορ. ὡς, τὼς δέ σ' ἀπεχθήρω ὡς νῦν ἔκπαγλ' ἐφίλησα Ἰλ. Γ. 415· τὼς μὲν ἔην μαλακός, λαμπρὸς δ' ἦν ἠέλιος ὣς Ὀδ. Τ. 234, Ἡσ. Ἀσπ. Ἠρ. 219, 478· τὼς γάρ σ' ἐφράσατην Θεαγ. 892, Παρμεν. 76· ὡσαύτως παρ' Αἰσχύλ. ἐν Φήβ. 184, 637, ἐν Ἱκέτ. 69, 670, 691· ἅπαξ παρὰ Σοφοκλ. (Αἴ. 841, νόθον χωρίον)· οὐδαμοῦ παρ' Εὐριπ. **II.** Δωρικ. = οὗ, ὅπου, Θεοκρ. Ἐπιγράμμ. 4. 1.

τὠτρεκές, κατὰ κρᾶσιν ἀντὶ τὸ ἀτρεκές, νῦν δὲ τὠτρεκὲς ἐφρασάμαν Ἀνθ. Π. 7. 428, 12.

τωῦλιον, κατὰ Δωρικ. κρᾶσιν ἀντὶ τὸ αὔλιον, ποτὶ τωῦλιον Θεόκρ. 11. 12.

τὠ τό· «ἐντεῦθεν (τωτῷ ἢ τῶσα)· Ἡσύχ.

τωὐτό, (οὐχὶ τωῦτο ἢ τῶυτό), γεν. τωὐτοῦ, δοτικ. τωὐτῷ, κατὰ Ἰων. κρᾶσιν ἀντὶ τὸ αὐτό, κτλ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Υ

Υ, υ, τό, ἄκλιτ., εἰκοστὸν γράμμα τοῦ Ἑλληνικοῦ ἀλφαβήτου· ὡς ἀριθμητ. υ' = 400, ἀλλὰ ͵υ = 400,000. Καλεῖται δὲ τὸ ὖ ὑπὸ τοῦ Πλάτ. ἐν Κρατ. 393D, ὑπὸ τοῦ Καλλίου παρ' Ἀθην. 453D, τὸ δὲ ὄνομα ὖ ψιλὸν ὀφείλεται εἰς τοὺς γραμματικούς. Ἐδόθη δὲ πιθανῶς ὅπως δειχθῇ ἡ ἐν τῇ προφορᾷ μεταβολὴ ἣν τὸ γράμμα τοῦτο ὑπέστη. Ἡ ἀρχικὴ αὐτοῦ προφορὰ φαίνεται ὅτι ἦτο ἀκριβῶς οἵα καὶ ἡ τοῦ **ου**, ὡς ἡ τοῦ Γερμαν. u = Ἀγγλ. oo, διετηρήθη δὲ αὕτη παρὰ τοῖς Βοιωτοῖς, ὥστε ἐν μεταγεν. χρόνοις, ὅτε ἡ προφορὰ τοῦ γράμματος ἐλεπτύνθη καὶ κατέστη ὡς ἡ τοῦ Γερμ. ü ἢ τοῦ Γαλλικ. u, αἱ λέξεις **τύχη, ἀσυλία, σύνδικοι,** φέρονται ἐν Βοιωτ. ἐπιγραφαῖς **τούχη, ἀσουλία, σούνδικη,** Keil Inscrr. Boeot. I, III, κτλ. Παρ' ἡμῖν τὸ υ προφέρεται ἀκριβῶς ὡς τὸ ι. Τὸ Ἑλληνικὸν υ ὡς τὸ Λατ. v ἀρχικῶς ἦτο καὶ φωνῆεν (u) καὶ ἡμίφωνον (v), ἴδε κατωτ. II. **I** ἐναλλαγαὶ τοῦ φωνήεντος υ μετ' ἄλλων φωνηέντων, κυρίως ἐν ταῖς Αἰολ. διαλέκτοις: **1)** Αἰολ. ἀντὶ **ο,** οἷον **ὄνυμα στύμα ὕρνις ὕμοιος μύγις** ἀντὶ **ὄνομα στόμα ὄρνις ὅμοιος μόγις,** Koen εἰς Γρηγόρ. Κορίνθου σελ. 534 κέξ.· ὡσαύτως **ἀπύ, ἄλλυ** ἀντὶ **ἀπό, ἄλλο, πίσυρες** ἀντὶ **πέτορες (τέσσαρες),** κτλ., πρβλ. **νύξ,** Λατ. nox· — τὸ υ τοῦτο παρέμεινεν ἔν τισι τῶν συνθέτων, **ἀνώνυμος, νώνυμνος, συνώνυμος**· — τὴν ἀντίστροφον μεταβολὴν τοῦ **πρύτανις** εἰς **πρότανις,** ἐν Συλλ. Ἐπιγρ. 2166. 31, ἀμφισβητεῖ ὁ Ahrens. **2)** ἀντὶ ᾰ, οἷον **σύρξ** ἀντὶ **σάρξ, κατύ** ἀντὶ **κατά,** πρβλ. **νύξ** = Σανσκρ. naktis, **ὄνυξ** = Σανσκρ. nakhas· — τἀνάπαλιν, **γυνή** εἶναι **βανά** παρὰ Βοιωτοῖς. **3)** ἀντὶ τοῦ ι, πρβλ. **φύω** πρὸς τὰς λέξ. **φῖτυ φιτύω,** Buttm. Λεξίλ. ἐν λέξ. **ὑπερφίαλος** 7· πρβλ. ὡσαύτως **μόλυβδος μόλιβος, δρῦς δρία, σῦς σίαλος, θυιάς θίασος,** Λατ. lubet libet· — οὕτω καὶ ἡ δίφθογγος **ου** ἐτράπη εἰς **οι** Αἰολ., οἷον **Μοῖσα** ἀντὶ **Μοῦσα, λέγοισα** ἀντὶ **λέγουσα,** καὶ οὕτως ἐνίοτε ἐν τῇ αἰτιατ. πληθ. τοῦ ἀρσεν. τῶν δευτεροκλίτων, Γρηγορ. Κορίνθου Αἰολ. Διάλ. 50· ἀλλὰ τούτων παραδείγματα εἶναι σπάνια, Koen σελ. 618. **4)** Λακων., **ῡ** ἀντὶ **οι,** ὡς **θύναρχος, θυναρμόστρια** ἀντὶ **θοιν-**· οὕτω Βοιωτ. **Ϝυκία** ἀντὶ **οἰκία, τῦς πολεμάρχυς** ἀντὶ **τοῖς πολεμάρχοις,** Keil Inscrr. III. 24, πρβλ. **κοινός ξυνός, κοίρανος κύριος.** **5)** Βοιωτ. **ῡ** ἀντὶ **ω,** οἷον **χελύνη** ἀντὶ **χελώνη, τέκτυν** ἀντὶ **τέκτων,** Bast. εἰς Γρηγ. Κορίνθου 586· — ὡσαύτως ἀντὶ **ῳ** ἐν τῇ δοτ., **αὐτῦ** ἀντὶ **αὐτῷ,** Keil Inscrr. I· **τῦ δάμυ** ἀντὶ **τῷ δήμῳ** Συλλ. Ἐπιγρ. 1562 κέξ. **II.** τὸ υ ὡς ἡμίφωνον παρίστανε τὸ ἀρχαῖον γράμμα δίγαμμα ἢ van (Ϝ), σπανίως ἐν ἀρχῇ λέξεως, ἴδε Curt. Gr. Et. σελ. 550· λλὰ συχνάκις ἐν τῷ μέσῳ· — ἐνίοτε ἀπετέλει τὴν δίφθογγον **αυ,** οἷον **αὐέρυσαν** ἀντὶ **ἀνϜέρυσαν** (ἴδε **αὐερύω** II), **αὐίαχοι** ἀντὶ **ἀνϜίαχοι, αὐάτα** (Πινδ.) ἀντὶ **ἀϜάτα** (ἄτη), **καλαῦροψ** ἀντὶ **καλάϜροψ, ταλαύρινος** ἀντὶ **ταλάϜρινος, ταναύποδες** ἀντὶ **ταναϜόποδες**· ἄλλοτε ἐσχημάτισε τὴν δίφθογγον **ευ,** ὡς, **εὔαδεν** ἀντὶ **ἔϜαδεν, εὔληρα, λεύω**· ἄλλοτε τὴν δίφθογγον **ου,** οἷον **βοῦς** (πρβλ. Λατιν. bos, bov-is), **ἀκούω** (πρβλ. **ἀκοϜή**), **ἄρουρα** (πρβλ. **ἀρόϜω**), κτλ. Ἐντεῦθεν οἱ Λατῖνοι τὸ ἑαυτῶν v μετέγραφον Ἑλληνιστὶ **ου,** οἷον **Οὐάρρων** (Varro), παρὰ μεταγεν. Ἕλλησι διὰ τοῦ **β, Βάρρων.** — Περὶ τῆς προφορᾶς τοῦ γράμματος τούτου καθόλου, ἴδε τὴν Βάσανον περὶ τῆς Ἑλλ. Προφορᾶς τοῦ Θ. Παπαδημητρακοπούλου, καὶ Historical Greek Grammar τοῦ Α. Ν. Γιάνναρη.

Ὑ. Τὸ φωνῆεν τοῦτο, πλὴν τοῦ ὅτι ἐν ταῖς διφθόγγοις **αυ** καὶ **ευ** μεταβάλλει εἰς **ο,** συχνὰ καὶ ὅλως ἀποβάλλεται, ὡς π. χ. **ἀτός** ἀντὶ **αὐτός.** Ἐν δὲ Ἐπιγρ. Σιλλυέων Παμφυλίας ἐν Monatsb. d. berl. Akad. 1874, σελ. 714 εὕρηται τὸ ὑ ἀντὶ τοῦ ἄρσεν. ἄρθρου ὁ, οὕτω· καὶ ὑ βολέμενυς (= καὶ ὁ βολήμενος = βουλόμενος). Τοῦτο δὲ συνηγορεῖ ὑπὲρ τοῦ ὅτι καὶ ἐν τοῖς σήμερον παρ' ἡμῖν ἐν Θεσσαλίᾳ καὶ Θεσσαλίᾳ καὶ εἴπου ἀλλοῦ λεγομένοις, ὑ Νικόλας, ὑ ἄνθρουπους, ὑ οὐρανὸς κτλ. αὐτὸ τοῦτο ἀναγνωριστέον καὶ ὄχι τὸ θηλυκὸν ἄρθρον ἡ, ὡς ἐσχάτως ἐπεχείρησέ τις ν' ἀποδείξῃ. Λέγεται δὲ καὶ οὐ Νικόλας, οὐ δάσκαλους κτλ. ἐν Κοζάνῃ βεβαίως, ὡς ἐγὼ ἤκουσα ἰδίοις ὠσίν, ἀλλὰ καὶ ἀλλοῦ τῆς Μακεδονίας καὶ Θεσσαλίας, ὡς μαρτυρεῖ ὁ Κωνστ. Οἰκονόμος (ἐν τῷ περὶ προφορᾶς τῆς Ἑλλ. γλ. σ. 366), οὕτω δηλ. καθὼς θέλει ὁ Χατζηδάκης, ὅτι ἐπροφέρετό ποτε τὸ ὑ ὑπὸ τῶν ἐν Παμφυλίᾳ Ἑλλήνων, τῶν ὁποίων καὶ μόνων ἡ ἐπιγραφὴ ἔχει δείξει ἕως τώρα τὸ υ ὡς ἄρθρον ἀρσενικόν. Ἔτι δὲ λέγομεν, ὅτι παρὰ Μπλατσιωτῶν Μακεδόνων ἠκούσαμεν λεγόμενον καὶ **ὕνουρο** τὸ ὄνειρον καὶ **ὕπουρα** τὰ ὀπωρικά, προφερομένου τοῦ υ ὡς ι, καθὼς καὶ ἐν τῷ ἄρσ. ἄρθρῳ κατὰ τὰ ἀνωτέρω εἰρημένα. Ὅτι δὲ τὸ υ τῶν διφθόγγων **αυ** καὶ **ευ** καὶ ἐν τῇ νέᾳ Ἑλληνικῇ ἀποβάλλεται ἔν τισι λέξεσι, γνωστόν, ἀλλ' οὔτε πανταχοῦ τῆς Ἑλλάδος ὁμοίως γίνεται τοῦτο, οὔτε ἐν πάσαις ταῖς τοῦ αὐτοῦ θέματος λέξεσι, διότι λέγονται π. χ. **κλάματα,** ἀλλὰ καὶ **κλαύματα,** λέγεται **ψέμα** καὶ **ψεματῶ,** ἀλλ' ὄχι **ψέτης** οὔτε **ψετίζω** οὔτε **ψετάκος.** Χρῄζουσι δὲ ταῦτα καὶ τὰ ὅμοια πολλῆς ἐπιστασίας καὶ διευκρινήσεως, Συναγωγὴ Λέξ. Ἀθησ. Κουμανούδη.

ὖ ὖ, πρὸς παράστασιν τοῦ ἤχου ὃν ἀποτελεῖ διὰ τῆς ῥινὸς ὁ ὀσφραινόμενος τῆς κνίσης ὀπτωμένων κρεῶν, ἦχος εἰς μίμησιν ἀνθρώπου ὀσφραινομένου εὐωχίας, Ἀριστοφ. Πλ. 805.

ὑ-άγχη, ἡ, (ὖς ἄγχω) νόσος τοῦ λαιμοῦ τῶν χοίρων, angina· καθόλου δέ, δεινὸς λαιμόπονος ἢ κατάρρους τοῦ λαιμοῦ, συνάγχη, πρβλ. Plin. N. H. 8. 51 καὶ ἴδε **κυν-άγχη.**

ὑᾱγών, ἡ, κατὰ τὸν Εὐστ. 842. 53 ὁ ἀρχικὸς τύπος ἐξ οὗ ἡ λ. **σιαγών,** ἣν τινες ἔγγραφον διὰ τοῦ υ **συαγών,** πρβλ. Ἀθήν. 94F.

Ὑάδες, ων, αἱ, (ὕω) ἑπτὰ ἀστέρες ἐν τῇ κεφαλῇ τοῦ ἀστερισμοῦ τοῦ Ταύρου, οἵτινες προεμήνυον ὑετὸν ὅτε ἀνέτελλον μετὰ τοῦ ἡλίου, Ἰλ. Σ. 486, Ἡσ. Ἔργ. κ. Ἡμ. 613, ἔνθα ὁ Τζέτζ. σημειοῦται: «ὑάδες λέγονται ὡς τῷ υ στοιχείῳ ἐοικυῖαι ἢ ὡς ὄμβρων ποιητικαί»· ἡ δὲ συνήθης ἐτυμολογία εἶναι ἐκ τοῦ ὕω, ὅθεν ὁ Οὐεργ. καλεῖ αὐτὰς Pluviae, Αἰν. 1. 744., 3. 516, πρβλ. Ὀβιδίου Fast. 5. 165, καὶ ἴδε Ὕης, II. — Ἀλλὰ τὸ σύνηθες αὐτῶν παρὰ Λατίνοις ὄνομα ἦτο suculae, χοιρίδια, ὡς εἰ ἡ ῥίζα ἦν ὖς, ὑός, Τίρων (Tiro) παρὰ Γελλ. 13. 9, Plin. N. H. 18. 66, I· καὶ ἡ συλλαβικὴ δὲ ποσότης εὐνοεῖ τὴν τοιαύτην ἐτυμολογίαν, ἐπειδὴ τὸ υ εἶναι βραχὺ ἐν τῷ ὀνόματι **ὑάδες,** ἀλλὰ μακρὸν ἐν τῷ ῥήματι **ὕω,** (ὁ Εὐρ.π. ὅμως ἔχει **ὑάδες** μετὰ ῡ, Ἴων 1156, Ἡλ. 468)· πρβλ. **Πλειάδες,** καὶ ἴδε Κικ. N. D. 2. 43 — Ὁ Ἡσ. ἐν Ἀποσπ. 60 ὀνομάζει πέντε Ὑάδας ὡς Νύμφας ὡς τὰς Χάριτας, ὧν τὰ ὀνόματα **Φαισύλη, Κορωνίς, Κλέεια, Φαιώ, Εὐδώρη.** Μεταγενέστεροι μῦθοι παρέστησαν αὐτὰς ὡς τὰς Νύμφας, αἵτινες ἀνέθρεψαν τὸν Βάκχον, Φερεκύδ. Ἀποσπ. 16, σ. 109, Sturz εἰς Ἀπολλόδ. 3. 4, 3.

ὕαινᾱ, ἡ, κυρίως θηλ. τοῦ ὖς· **I.** ἄγριον θηρίον τῆς Λιβύης, πιθαν. ἡ τῶν μεταγενεστέρων ὕαινα (hyaena), ζῷον ἐκ τοῦ εἴδους τοῦ κυνὸς ἔχον τραχεῖαν χαίτην ἢ σειρὰν τριχῶν ἐπὶ τῶν νώτων οἷαν ὁ χοῖρος (ὅθεν καὶ τὸ ὄνομα), Hyaena striata, Ἡρόδ. 4. 192, Ἀριστ. π. τὰ Ζ. Ἱστ. 6. 32, 8. 5, 2, Αἰλ. π. Ζ. 7. 22· καλεῖται καὶ **γλάνος,** Ἀριστ. ἔνθ' ἀνωτ.· πρβλ. **κροκόττας.** **II.** θαλάσσιός τις ἰχθύς, Νουμήν. παρ' Ἀθην. 326F, Αἰλ. π. Ζ. 13. 27· καὶ **ὑαινίς, -ίδος,** Ἐπίχαρμ. 38 Ahr.· ἴδε ὖς II. **III.** παρὰ Πορφ. π. Ἀποχ. 4. 16 (σ. 350) τὸ **ὑαίνας** φέρεται προφανῶς ἡμαρτημένως ἀντὶ τοῦ **λεαίνας**· ἐπειδὴ ἡ ἀντίστοιχος λέξις εἶναι **λέοντες.**

ὑαίνιος, α, ον, ὁ ἀνήκων εἰς ὕαιναν· hyaeniae (δηλ. gemmae), Plin. 37. 60.

ὑακίζω, = **ὑετίζω,** «ὑακίζει· βρέχει ἢ ὑετίζει ἢ ὕει» Ἡσύχ.

Ὑακίνθια, (ἐξυπακ. ἱερά), τά, ἑορτή τις τῶν Λακεδαιμονίων εἰς τιμὴν τοῦ Ὑακίνθου τελουμένη κατὰ τὸν μῆνα Ἑκατομβαιῶνα, Ἡρόδ. 9. 6, 11, Θουκ. 5. 23, Ξεν., κλπ., πρβλ. Müller. Δωρ. 2. 8. § 15, Πολυκράτ. κατὰ Δίδυμ. τὸν Γραμματικὸν παρ' Ἀθην. 139D, Ἡσύχ.

ὑακινθέζω, εἶμαι ὅμοιος ὑακίνθῳ, Plin. H. N. 37. 5.

ὑακινθίνο-βᾰφής, ές, ἔχων τὸ χρῶμα ὑακίνθου, Ξεν. Κύρ. 6. 4, 2, Ἀρρ. Ἀν. 6. 29, 6.

ὑακίνθινος, η, ον, ὁ τοῦ ὑακίνθου, κόμας, ὑακινθίνῳ ἄνθει ὁμοίας Ὀδ. Ζ. 231, (ἴδε **ὑάκινθος**). Σ πρὸ 62· ἄνθεα Εὐρ. Ἰ. Α. 1298· φύλλα, Θεόκρ. 11. 26 — Καθ' Ἡσύχ.: «ὑακίνθινον· ὑπομελανίζον, πορφυρίζον».

Ὑακίνθιος, ὁ, ἐν Ῥόδῳ καὶ Θήρᾳ τὸ ὄνομα τοῦ μηνὸς τοῦ ὑπὸ τῶν Ἀθηναίων καλουμένου Ἑκατομβαιῶνος, Ἐπιγραφ.· ἴδε **Ὑακίνθια.**

Ὑάκινθος, [ᾰ], ὁ Λάκων τις νεανίας ἐρώμενος ὑπὸ τοῦ Ἀπόλλωνος, ὅστις ἐφόνευσεν αὐτὸν κατά τινα ἀτυχῆ βόλον τοῦ δίσκου, Εὐρ. Ἑλ. 1469, Ἀπολλόδ. 3. 10, 3, Παυσ. 3. 1, 3, πρβλ. **Ὑακίνθια.**

Β. ὡς προσηγορικ., **I.** **ὑάκινθος,** ὁ, Ἰλ. Ξ. 348, Παυσ. 1. 35, 4· ἀλλὰ ἡ παρὰ μεταγεν. ποιηταῖς, οἷον Θεόκρ., κλπ., ἔνθα κατωτ., οὕτω δὲ καὶ Θεοφρ. περὶ Φυτ. Ἱστορ. 6. 8, 2· ἀλλὰ παρὰ Λατ. συνήθως ἀρσ. — τὸ ἄνθος ὑάκινθος, πρῶτον ἐν Ἰλ. ἔνθ' ἀνωτ., Ὕμν. εἰς Δήμ. 7· λέγεται δὲ ὅτι ἀνεφάνη τὸ ἄνθος τοῦτο ἐκ τοῦ αἵματος τοῦ Ὑακίνθου, ἢ (κατ' ἄλλους) ἐκ τοῦ αἵματος τοῦ Αἴαντος τοῦ υἱοῦ τοῦ Τελαμῶνος· ἐνόμιζον δὲ οἱ παλαιοὶ ὅτι ἠδύναντο ἐπὶ τῶν πετάλων νὰ ἀναγνώσωσι τὰ πρῶτα γράμματα τοῦ ὀνόματος Αἴας, ΑΙ ἢ τὸ ἐπιφώνημα ΑΙΑΙ, πρβλ. Μόσχ. 3. 6, Ὀβιδ. Μεταμ. 10. 211· ἐντεῦθεν τὰ ἐπίθετα **γραπτὰ** (πρβλ. Οὐεργ. Ἐκλογ. 3. 106), Θεόκρ. 10. 28· **αἰαστή,** Νίκανδρ. παρ' Ἀθην. 683D· **πολύθρηνος,** ὁ αὐτ. ἐν Θηρ. 902· **πολύκλαυτος** Ἑλλ. Ἐπιγρ. 547. 5. Ὁ ὑάκινθος τῶν παλαιῶν φαίνεται ὅτι περιελάμβανε τὰ ἄνθη iris, gradiolus καὶ Delphinium Ajacis, ἴδε Διοσκ. 3. 84, οὕτω δὲ δύνανται νὰ ἐξηγηθῶσιν αἱ διάφοροι τοῦ χρώματος αὐτοῦ περιγραφαί. Ὁ Ὅμ. ἀπέδιδεν εἰς αὐτὸν πολὺ σκοτεινὸν χρῶμα, διότι ἐν Ὀδ. Ζ. 231, Ψ. 158, καλεῖ τὰς τρίχας τῆς κεφαλῆς ὑακινθίνῳ ἄνθει ὁμοίας, πρβλ. Λουκ. ὑπὲρ τῶν Εἰκ. 5

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ρη ὡς δὲ λέγεται μέλας παρὰ Θεοκρ. ἔνθ' ἀνωτ., Οὐεργ. Ἐκλογ. 2. 18., 10. 39 (διότι πιθανῶς τὸ vaccinium ἦτο ἄγλος τύπος = **ὑάκινθος**). Λέγεται πορφυροῦς ὅηλ. βαθέος ἐρυθροῦ χρώματος παρὰ τῷ Μελεάγρῳ (Ἀνθολ. Π 5. 147), Εὐφόρ. Ἀποσπ. 38, Ὀβίδ. ἔνθ' ἀνωτέρω· ὡσαύτως ἐρυθρός, suave rubens, Οὐεργ. Ἐκλογ. 3. 63· χρώματος οἷον τὸ τοῦ σιδήρου, ferrugineus, ὁ αὐτ. ἐν Γεωργ. 4. 183, Colum. 10. 305· ἀλλὰ καὶ ὁ Columella μνημονεύει λευκοὺς καὶ κυανοῦς ὑακίνθους, αὐτόθι 100. **II.** **ὑάκινθος**, ἡ, Ἡλιόδ., ὁ, Φίλων καὶ Ἰώσηπ.· — πολύτιμος λίθος χρώματος κυανοῦ (Ἰωσήπ. Ἰουδ. Ἀρχ. 3. 7, 7), πιθανῶς οὐχὶ ὁ νῦν ὑάκινθος, — ἴσως ὁ σάπφειρος, Φίλων 2. 148, Ἡλιόδ. 2. 30, Ἐβδ., Κ. Δ., κλπ.· πρβλ. Πλίν. 37. 40, King Antique Gems σελ. 46.

ὑάλεος, [ᾰ], α, ον, (ὕαλος) = **ὑάλινος**, ὁ ἐξ ὑάλου, κύλιξ Ἀνθ. Π. 6. 33· ὄψις, ὡς ὕαλος, λαμπρά, αὐτός, 12. 249· — συνηρ. **ὑαλοῦς**, ᾗ, οῦν, ὑάλινος, «γυαλένιος», ὑαλᾶ σκεύη Στράβ. 20.· ἐκπώματα ὑαλᾶ Λουκ. πῶς δεῖ Ἱστ. Συγγρ. 25 ὡσαύτως **ὑελοῦς**, ᾗ, οῦν, Ἱππόλοχος παρ' Ἀθην. 129D, Κλήμ. Ἀλ. 191· ἴδε ἐν λέξ. **ὕαλος**.

ὑάλη, [ᾰ], ἡ, = **ὕαλος**, Σουΐδ., Ἡσύχ. **2)** μικρὸν ἀγγεῖον ἐξ ὑάλου, Διοσκ.(;)

ὑάλη, ἡ, = **σκώληξ**. Ἡσύχ., ὅστις ὡσαύτως μνημονεύει καὶ ῥῆμα «**ὑάλεται**· σκωληκιᾷ·» ταῦτα ἴσως εἶναι τύποι διαλεκτικοὶ ἀντὶ **εὐλή**, **εὐλάζει**, (ὅπερ ἑρμηνεύει ὡσαύτως διὰ τοῦ **σκωληκιᾷ**).

ὑᾰλίζω, ἢ **ὑελίζω**, εἶμαι ὅμοιος ὑάλῳ, ὡς ὕαλος, Διοσκ. 1. 91 133, πρβλ. τὸ τῆς καθωμιλημένης «γυαλίζω».

ὑᾰλικός, ἡ, ὁν, ὁ ἀνήκων ἢ ἁρμόζων εἰς ὕαλον, ψάμμος ὑαλική, ἄμμος χρήσιμος εἰς κατασκευὴν ὑάλου, Ἰωσήπ. Ἰουδ. Ιδόλ. 2. 10, 2.

ὑάλῑνος, η, ον, ὡς καὶ νῦν, ἐξ ὑάλου κατεσκευασμένος, Κόρινν. 36· ἐκπώματα Ἀριστοφ. Ἀχ. 74· σφραγὶς Συλλ. Ἐπιγρ. 150B. 34· φιάλη Παυσ. 2. 27, 3, κλπ.· ὡσαύτως **ὑέλινος**, η, ον, Ἀνθ. Π 14. 52, Δίλ. Ποικ. Ἱστ. 13. 3. [Περὶ τῆς ποσότητος ἴδε **ὕαλος** ἐν τέλει].

ὑάλιον, τό, κάτοπτρον, «ἐκήταζα εἰς τὸ ὑάλιον τὸ πρόσωπόν μου» Δαμασκ. Στουδίτου Ὁμιλ. 25 παρὰ Δουκαγγ.· **ὑέλιον**. Σουΐδ. ἐν λέξ. **σπέκλον**.

ὑάλιος, «πολέμιος, καὶ ἐνυάλιος» Σουΐδ.

ὑᾰλῖτις, **ιδος**, ἡ, ἡ ἀνήκουσα ἢ ἁρμόζουσα εἰς ὕαλον, ἁρμοδία εἰς κατασκευὴν ὑάλου, ἄμμος ἢ ψάμμος ὑαλῖτις Στράβ. 758· γῆ ὑαλ. αὐτόθι· ἴδε Θεόφρ. περὶ Λίθων 49.

ὑᾰλο-ειδής, ές, ὅμοιος πρὸς ὕαλον, διαφανής, χυμὸς Πραξαγ. παρὰ Γαλην.· ἥλιος Φιλόλ. παρὰ Πλουτ. 2. 890Λ· ὁ ὑαλ. χιτὼν ὀφθαλμοῦ, ὁ τρίτος χιτὼν τοῦ ὀφθαλμοῦ ὃς καὶ ῥακοειδὴς καὶ κρυσταλλοειδὴς λέγεται ὑπὸ τῶν ἰατρῶν, Πολυδ. Β', 71. **2)** ὁ ὑαλ. λίθος, πολύτιμός τις λίθος, τὸ νῦν καλούμενον τοπάζιον, Θεοφρ. περὶ Λίθων 30, πρβλ. Ὀρφ. Λιθ. 277. [Ἴδε **ὕαλος** ἐν τέλει].

ὑαλόεις, **εσσα**, **εν**, ὅμοιος πρὸς ὕαλον, διαφανής, παρειὴ Ἀνθ. Π. 5, 48.

ὑαλόκτιστος φισκίνα (piscina), δεξαμενὴ ἐκτισμένη δι' ὑάλων, Ἀνθ. κ. Ῥοδ. στ. 1019, Ἐκδ. Μαυρ.

ὕαλος, ἡ **ὕελος** (ἴδε κατωτ.), ἡ, ἴδε Αἰλ. Διονύσ. παρ' Εὐστ. 1390. 52· ἀλλὰ παρὰ Θεοφρ. π. Λίθ. 49· ὁ τύπος **ὕαλος** λέγεται ὅτι εἶναι Ἀττικός, **ὕελος** δὲ Ἑλληνικός, Μο�τρ. 73, Θωμ. Μάγ. 862, Φρύν. 309, Δ. Β. 68· παρ' Ἡροδ. τὰ Ἀντίγραφα ποικίλλουσι μεταξὺ **ὕελος** καὶ **ὕαλος**· ὁ πρῶτος τύπος ἐγένετο δεκτὸς ἐν Ἀριστ. Ἀναλυτ. Πρωτ. 1. 31, 4, Θεοφρ. ἔνθ' ἀνωτ. περὶ Πυρ. 73· πρβλ. **πτύαλον**, **σίαλον**. Καθ' Ἡρόδ. ὕαλος ἐκαλεῖτο λίθος τις διαφανὴς ἐν Αἰγύπτῳ ὀρυσσόμενος, ἐκ τούτου δ' οἱ Αἰγύπτιοι κατεσκεύαζον στήλην κοίλην ἐν ᾗ ἔκλειον τὸ σῶμα τεταριχευμένου νεκροῦ. Ἡρόδ. 3. 24· περὶ τῆς ὑάλου ταύτης λέγει ὁ Ἡρόδ. ἔνθ' ἀνωτέρ.· πολλὴ καὶ εὐεργὸς ὀρύσσεται· καὶ πιθανῶς ἦτο ἀλάβαστρος ἀνατολικός, ὅστις εἶναι διαφανὴς τεμνόμενος λεπτός, ἴδε Bâtir ἐν τόπῳ, Belzoni's Researches, σελ. 236· **ὕελος ὀρωρυγμένη**, κρύσταλλος ὀρυκτός, Ἀχιλλ. Τάτ. 2. 3.

2) ἀμφίκυρτος φακὸς ἐκ κρυστάλλου δι' οὗ συγκεντροῦσι τὰς ἀκτῖνας τοῦ ἡλίου πρὸς παραγωγὴν πυρὸς καὶ ἀνάφλεξιν εὐφλέκτου ὕλης, λίθος διαφανὴς ἀφ' ἧς τὸ πῦρ ἅπτουσι Ἀριστοτ. Νεφ. 768, πρβλ. Θεοφρ. περὶ Πυρ. 73· — ὁ Πλίν. 37. 10, μνημονεύει σφαῖρας πλήρεις ὕδατος χρησίμους πρὸς τὸν αὐτὸν σκοπόν, πρβλ. 36. 67· — ἴδε καὶ σκάφιον. **II.** «γυαλί», Λατ. vitrum, πρῶταν πιθαν. παρὰ Πλάτ. Τιμ. 61B· — ἂν καὶ ἡ τεχνικὴ ὕαλος (μήπω φέρουσα τὸ ὄ.ομα **ὕαλος**) ὑπῆγεν ἤδη κατὰ τοὺς χρόνους τοῦ Ἡροδ., ἐπειδὴ τὰ ἀρτήματα λίθινα χυτὰ ὧν γίνεται μνεῖα ἐν 2. 69, ἀναμφιβόλως ἦσαν πεποιημένα ἐκ τεχνικῆς ὑάλου· ὡσαύτως εὕρηται σκύφος χυτῆς λίθου παρ' Ἐπινίκ. ἐν «Μνησιπτολέμῳ» 1. — Περὶ τῆς ἱστορίας τῆς παρὰ παλαιοῖς ὑάλου ἴδε Στράβ. 758, Πλίν. ἔνθ' ἀνωτ., Λεξικ. Ἀρχαιοτ. ἐν λ. **ὕαλος**. **III.** **ὕαλος χνοώδης**, παρὰ Παύλ. Αἰγ. 6. 22, εἶναι ἀπορροφητικὴ τις ὕλη· — **ὕαλος** ὡσαύτως ἑρμηνεύεται διὰ τοῦ **βόρβορος** παρ' Ἡσυχ. καὶ ἐν Θεογνώστ. Καν. 18. (Τὸ ὄνομα λέγεται ὅτι εἶναι Αἰγύπτιον (Jablonski Opusc. 1, 250), ὅπερ συ ἀδει πρὸς τὸν τύπον ἔνθα τὸ πρῶτον κατεσκευάσθη, πρβλ. Στράβ. 758.— Οἱ ἰσχυριζόμενοι ὅτι τὸ ὄνομα τοῦτο εἶναι Ἑλληνικῆς ἀρχῆς παράγουσιν αὐτὸ ἐκ τοῦ ῥήμ. **ὕω**, ὡς εἰ ἡ πρώτη αὐτοῦ σημασία ἦτο· στάγων βροχῆς, ἢ διαφανὴς ὡς ὕδωρ, Κούρτ. ἀριθ 604). [**ὕᾰλος**, ὡς φαίνεται ἐκ τοῦ **ὑᾰλίνων**, ἐν Ἀριστοφάν. Ἀχ. 74· — ἀλλὰ μεταγεν. ποιηταὶ ἔχουσιν ῡ ἔν τισι τῶν παραγώγων ὅπως προσαρμόσωσιν αὐτὰ εἰς δακτυλικὸν μέτρον **ὕᾱλεος** Ἀ.θ. Π. 6. 33, 12. 249· **ὕᾱλινος**, αὐτόθι 14. 52· **ὕᾱλόεις**, αὐτόθι 5. 48· **ὕᾱλοειδὴς** Ὀρφ. Λιθ. 277· **ὕᾱλόχροα** Ἀνθ. Π. 6. 211].

ὑᾰλο-τέχνης, ου, ὁ, ὁ ἐργαζόμενος τὴν ὕαλον, Ἡσύχ. ἐν λέξ. **ὑελέψης**, ἔνθα **ὑελοτέχν-**.

ὑᾰλουργεῖον, ἢ **ὑελ-**, τό, ἐργαστήριον ὑαλουργοῦ, Διοσκ. 5. 182.

ὑᾰλουργικός, ἡ, όν, ὁ ἀνήκων ἢ ἁρμόζων εἰς ὑαλουργίαν, κάμινον ὑαλουργικὴν Γεωπ. 20. 17· — ἡ ὑαλουργικὴ (ὅηλ. τέχνη) Νικηφ. Βλεμμ. Λογικὰ σ. 11, κλπ.

ὑᾰλουργός, ὁ, (**ἔργω**) ὁ ἐργαζόμενος τὴν ὕαλον, Στράβ. 758.

ὑᾰλοῦς, ᾶ, οῦν, συνηρ. ἀντὶ **ὑάλεος**, ὃ ἴδε.

ὑαλοφεγγίτης, ὁ φεγγίτης (θυρὶς) ἐξ ὑάλου, Φλάρ. κ. Πλ. Φλ. στ. 1333, Ἐκδ. Μαυρ.

ὑᾰλό-χρους, **ουν**, ὁ ἔχων τὸ χρῶμα τῆς ὑάλου, Ἀνθ. Π. 6. 211 (ἐν τῇ αἰτ. **-χροα**). [Ἴδε **ὕαλος** ἐν τέλει].

ὑᾰλώδης, ες, = **ὑαλοειδής**, Ἱππ. Κωακ. Προγν. 140, πρβλ. 1736· **ὑελώδης**, Διοσκ. 3. 86

ὑάλωμα, τό, νόσος τῶν ὀφθαλμῶν ἵππου, ὡς τὸ γλαύκωμα, «συμβαίνει δὲ ἐκ τούτου, ὃ καλεῖται ὑάλωμα ὅμοιον ψηφῖδι λευκῇ» Ἱππιατρ. 1, σ. 43, 11.

ὑᾰλ-ῶπις, **ιδος**, ἡ, ἔχουσα ὄψιν ὑαλώδη, κρυσταλλώδης, Ἰασπὶς Ὀρφ. Λιθ. 607.

ὑαμενόν, (;) ἂν δέ τι καὶ ὑαμενὸν θύῃ, Ἐπιγρ. Κέω, Rang Ant. hel. 821 CIG 2360. Ἴσως δηλοῖ ἡ λέξις, εἰ ὀρθὴ ἡ ἀνάγνωσις, ζῷον τοῦ γένους τῶν ὑῶν, ὖν.

ὑάνεος, ον, Δωρ. ἀντὶ (**ὑήνεος**) **ὑηνός**, Ἡσύχ. (κῶδ. **ὑανέους**).

ὖαξ, = **οἶαξ** (Βοιωτ.) «ὖαξ· πηδάλιον, ὁδηγὸς» Ἡσύχ.

ὑβάζω, [ῠ], (ὑβὸς) κύπτω καὶ ἐμῶ, «ὑβάζειν, τὸ ἐμεῖν· οἱ γὰρ ἐμοῦντες ἀπὸ τῆς βίας κυρταίνειν δοίκασι.» Σουΐδ. ἐν λέξ. **ὑβός**.

ὑβάλης, ὁ, = **λάγνος**. Ἡσύχ. οὕτω: **ὑβάλλειν**, Θεόγνωστ. ἐν Ὀξων. Ἀνεκδ. 2. 18.

ὑββάλλω, κατ' Ἐπικ. συγκοπ. ἀντὶ **ὑποβάλλω**, Ἰλ. Τ. 80. —Καθ' Ἡσύχ.· «ὑββάλλει· ὑπερτίθεται, ὑποβάλλει».

ὑβός, [ῠ], ἡ, όν, ὁ ἔχων κεκυρτωμένα τὰ νῶτα, κυρτός, «καμπούρης», Ἱππ. Ἀφ. 1258 ἀντίθετον τῷ **λορδός**. Θεόκρ. 5. 43. (Ὁ Κούρτ. ἀμφιβάλλει τὴν σχέσιν τῆς λέξεως πρὸς τὸ **κυφός**).

ὖβος, ὁ, τὸ κύρτωμα τὸ ἐπὶ τῆς ῥάχεως καμήλου, Ἀριστ. π τὰ Ζ. Ἱστ. 2. 1, 14.

ὑβοτάκτης πρώτης τάξεως Ἐπιγρ. Ἐφημ. τῆς Ἀθηνῶν, CIA. III, 1113. Τῆς λέξ. ἡ σημ. ἄδηλος. Ἴσως νοεῖται ἀντὶ τοῦ **ὑποτάκτης** (ὃ οὐχ εὑρηται ἐ τοῖς λεξικοῖς) κατὰ τὰς ἐπιγραφὰς ἁπαγτῶν **Συβαλήττιος** ἀντὶ **Συπαλήττιος**, καθὼς ἔτι ἡ ἐναλλαγὴ τοῦ β καὶ τοῦ π ὁρᾶται ἐν τοῖς sub **ὑπό**, ab **ἀπό**, ob **ἐπί**, Συνεγωγὴ Λέξ. Ἀθηνᾶ. Κουμανούδη.

ὑβρι-γελως, ωτος, ὁ, ὑβριστικὸς γέλως, Μανέθων 4. 280, 440.

ὑβρίζω [ῐ], Δωρικ. **-ίσδω**· μέλλ. Ἀττικ. **-ιῶ** Δημ. 585. 10, (ἐν-) Ἀριστοφ. Θεσμ. 719· μεταγεν. **-ίσω** Ἀππ. Μιθρ. 79· ἀόρ. **ὕβρισα** Ἡρόδ. 6. 87, Σοφ. Αἴ. 560, κλπ.· πρκμ. **ὕβρικα** Ἀριστοφ. Λυσ. 400, Δημ.· ὑπερσ. **ὑβρίκειν** ὁ αὐτ. 32. 15.— Μέσ., μέλλ. **ὑβριοῦμαι** Ἀριστοφ. Ἐκκλ. 666.— Παθητ., μέλλ. **ὑβρισθήσομαι** Δημ. 585. 21· ἀόρ. **ὑβρίσθην** Σοφ. Αἴ. 367. Πλάτ.· πρκμ. **ὕβρισμαι** Εὐρ., κλπ.· (**ὕβρις**). Φέρομαι αὐθαδῶς, ὑβριστικῶς, ἐν τῇ χρήσει ἀνωτέρας δυνάμεως ἢ ἐξουσίας, παρεκτρέπομαι, ἀκολασταίνω, παραδίδομαι ὑπερμέτρως εἰς ἡδονάς, **ὑβρίζοντες** οἱ ὄνοι **ἐτάρασσον** τὴν ἵππον, ὑγκώμενοι οἱ ὄνοι ἐτάρασσον τὸ ἱππικὸν τῶν Σκυθῶν, Ἡρόδ. 4. 129 (ἔνθα ἴδε Wesel.), Ξεν. Κύρ. 7. 5, 62, πρβλ. Böckh Expl. Pind. P. 10. 36 (55)· ἐπὶ ἐλεφάντων. Αἰλ. π. Ζ. 10. 10. **3)** ἐπὶ φυτῶν, αὐξάνομαι πολύ, ὀργῶ, Θεοφρ. π. Φυτ. Ἱστ. 2. 7, 6, π. Φυτ. Αἰτ. 3. 15, 4. **4)** μεταφορ., ἐπὶ ποταμοῦ ὅστις παρίσυρε καὶ ἔπνιξεν ἵππον, Ἡρόδ. 1. 189· οὕτω, γῆ **ὑβρίστο ποταμῶν** ἐκβολαῖς, εἶχε παρασυρθῆ, Ποιητὴς παρὰ Πλουτ. 2. 993Ε. **II.**

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐν τῇ πρὸς ἄλλους συμπεριφορᾷ, ὑβρίζω τινά, κακῶς μεταχειρίζομαί τινα, ἐνοχλῶ, βλάπτω, προσβάλλω, ἡμέας ὑβρίζοντες ἀτάσθαλα μηχανόωντο (ἴδε κατωτ. 2) Ἰλ. Α. 695· ὑβρ. τοὺς ὑβρίζοντας χρεὼν Αἰσχύλ. Πρ. 970· ὑβρ. τὴν ἑαυτοῦ γυναῖκα Ἀνδοκ. 31. 5· ὑβρ. τινὰ ὡραῖον ὄντα Λυσί. 142. 12, πρβλ. 92. 10· τὰς νήσους Ἰσοκρ. 179Β· ἀλλ' ἡ συνηθεστέρα φράσις (μάλιστα παρὰ πεζογράφοις) ἦτο ὑβρ. εἴς τινα, φέρομαι ὑβριστικῶς, κακῶς πρός τινα, πράττω τι προσβάλλον τινά, Εὐρ. Φοίν. 620, Ἱππ. 1073, Ἀριστοφ. Πλ. 899· ὑβρ. εἰς τοὺς θεοὺς ὁ αὐτ. ἐν Νεφ. 1506· εἴς σε καὶ τὴν σὴν γυναῖκα Λυσί. 93. 12· εἰς τὴν πατρίδα Ἰσοκρ. 64Α· εἰς ταύτην τὴν παροιμίαν Πλάτ. Συμπ. 174Β· — (κατὰ τὸν Λουκ. ἐν Σολοικ. 10, ὑβρ. τινὰ ἐσήμαινε βλάπτω τινὰ προσωπικῶς, αὐτὸν ἀμέσως· ὑβρ. εἴς τινα, βλάπτω τι ἀνῆκον εἴς τινα· ἡ διάκρισις ὅμως αὕτη καίπερ δικαία πολὺ ὀλίγον ἐτηρεῖτο, ἴδε τοὺς λεξιλογικοὺς Πίνακας τῶν Ἀττικῶν Ῥητόρων)· ὡσαύτως, ὑβρίζω ἐπί τινα, ὑπεραίρομαι ἐπὶ ἡττημένῳ ἐχθρῷ, Εὐρ. Ἡρ. Μαιν. 708· ὑβρ. ἐν κακοῖσιν Αἰσχύλ. Ἀγ. 1612, πρβλ. Σοφ. Αἴ. 1151. **2)** συχν. μετὰ συστοίχ. αἰτ., ὑβρ. ὕβριν Αἰσχύλ. Ἱκέτ. 880· ὕβρεις Εὐρ. Βάκχ. 247, κλπ., πρβλ. **ὑβρισμός**· οὕτως, ὕβριν ὑβρ. εἴς τινα ὁ αὐτ. ἐν Ι. Α. 961, πρβλ. Ἡρακλ. 18· ὕβρεις ἃς κατὰ τὴν ἀγορὰν ὕβριζεν Δημ. 614, 18· — καὶ μετ' οὐδετ. ἐπιθέτ., ὑβρ. τάδε, πράττω τὰ κακὰ ταῦτα, φέρομαι οὕτω κακῶς, Ἡρόδ. 3. 118, αἳ τἄλλά θ' ὑβρίκασι Ἀριστοφ. Λυσ. 400· ὅσα περὶ θεοὺς ὑβρ. τις Πλάτ. Νόμ. 885Β, πρβλ. 761Ε· — καὶ μετ' ἄλλων ὀνομάτων, τῶν ἀδικημάτων.., τῶν ἐς Ἀθηναίους ὕβρισαν Ἡρόδ. 6. 87· (οὕτω πιθαν., θεοὶ τισαίατο λώβην, ἣν οἷδ' ὑβρίζοντες ἀτάσθαλα μηχανόωνται (ἴδε ἀνωτ. Π. 1) Ὀδ. Υ. 370· — καὶ μετὰ διπλῆς αἰτ., τοιαῦτα ὑβρ. τινὰ Σοφ. Ἠλ. 613· ἡμᾶς ὑβρ. οὐκ ἐχρῆν τοιάνδ' ὕβριν Εὐρ. Ἱκέτ. 512, πρβλ. Ἠλ. 266, Πλάτ. Συμπ. 222Α, Ξεν., κλπ.· ἔνθα ἐν τῷ παθητ., ὕβριν ὑβρισθῆναι Εὐρ. Βάκχ. 1298, Δημ. 660. 20· τάλαιν' ἐγὼ τῆς ὕβρεως ἧς ὑβρίζομαι Ἀριστοφ. Πλ. 1044· ὧν δ' εἰς τὸ σῶμα ὑβρίσθαι φημί Δημ. 523. 1. **3)** ἐν Ἀθήναις ὡς δικαστικὸς ὅρος, ἐπιφέρω βλάβην εἴς τινα, δέρω, προσβάλλω, κακοποιῶ, βιάζω, ἀτιμάζω, καὶ τὰ ὅμοια (πρβλ. **ὕβρις** Π. 2), Λυσί. 142. 12., 169. 36, Δημ. 516. 6 κἑξ., κτλ.· γυναῖκες καὶ παῖδες ὑβρίζονται Θουκ. 8. 74· ὑβρισθῆναι βίᾳ Πλάτ. Νόμ. 874C· τὰς γνάθους ὑβρισμένη, κεκακωμένη τὰς παρειάς, Ἀριστοφ. Θεσμ. 903· ὑβριζομένους ἀποθανεῖν Ξεν. Ἀν. 3. 1, 13· — καὶ ἐπὶ πράξεων, τὰ ὑβρισμένα Λυσί. 97. 6· ἐν ἀντιθέσει πρὸς τὸ **αἰκίαι** (πρβλ. **ὕβρις** Π. 3), Ἀριστοφ. Ἀποσπ. 27· διὰ τὸ ὑβρίσθαι, ὑβριστικῶς εὐνουχισθῆναι, Ξεν. Κύρ. 5. 4, 35. **4)** μετοχ. παθητ. πρκμ., ἐπὶ πραγμάτων, ἐπιδεικτικός, σημεῖ' ἔχων ὑβρισμένα, ἐπιδεικτικῶς περιττά, Εὐρ. Φοίν. 1112· στολὴ οὐδὲν τι ὑβρισμένη Ξεν. Κύρ. 2. 4, 5. — Πρβλ. **ὕβρις** ἀπ' ἀρχῆς μέχρι τέλους.

ὑβρικῶς, Ἐπίρρ., αὐθάδως, Ἰω. Χρυσ. τ. 4, σ. 360. 8.

ὑβρῐοπᾰθέω, ὑφίσταμαι ὑβριστικὰς προσβολάς, κακοποιοῦμαι, πάσχω δεινά, κατὰ τὸ **δεινοπαθέω**. Ῥήτορες (Walz) τ. 3, σ. 181, Βυζ. — Ἴδε Κόντου Γλωσσ. Παρατηρ. σ. 276.

ὑβριοπάθησις, ἡ, τὸ παθεῖν ὕβριν, Γ. Παχυμ. τ. Β', σ. 28, ἔκδ. Β.

ὕβρις [ῡ], ἡ, γεν. **εως** (Ἀριστοφ. Λυσ. 425), **εος** (ὁ αὐτ. ἐν Θεσμ. 465, Πλ. 1044, Εὔβουλος ἐν «Ναννίῳ» 1. 9), Ἐπικ. **ιος**. (Συνήθως ἀναφέρεται εἰς τὴν αὐτὴν ῥίζαν εἰς ἣν καὶ ἡ πρόθ. **ὑπέρ**, πρβλ. **ὑπερήφανος**, **ὑπερφίαλος**· ἀλλ' ὑπάρχουσιν ἐν τούτῳ δυσχέρειαι, ἴδε Κούρτ. σ. 528). Αὐθάδης βία πηγάζουσα ἐξ ὑπερβολικῆς συναισθήσεως δυνάμεως ἢ ἐκ πάθους, αὐθάδεια, ἀλαζονεία αὐθάδης, προπέτεια, συχν. ἐν τῇ Ὀδυσσείᾳ ὡς ἐπὶ τὸ πλεῖστον ἐπὶ τῶν μνηστήρων, μνηστήρων, τῶν ὕβρις τε βίη τε σιδήρεον οὐρανὸν ἵκει Ο. 329., Ρ. 565· μνηστῆρες ὑπέρβιον ὕβριν ἔχοντες Α. 368., Δ. 321· λίην γὰρ ἀτάσθαλον ὕβριν ἔχουσιν Π. 86· ὕβρει εἴξαι Ξ. 262., Ρ. 431· θεοὶ.. ἀνθρώπων ὕβριν τε καὶ εὐνομίην ἐφορῶντες Ρ. 487· δίκη ὑπὲρ ὕβριος ἴσχει· Ἡσ. Ἔργ. καὶ Ἡμ. 215, πρβλ. Ἀρχίλ. 79· συνημμένον μετὰ τοῦ **ὀλιγωρίη**, Ἡρόδ. 1. 106· δυσσεβίας μὲν ὕβριστέκος Αἰσχύλ. Εὐμ. 534· — κατὰ Πλάτωνα, ὕβρις εἶναι ἐπιθυμίας ἀρξάσης ἐν ἡμῖν ἡ ἀρχή, Φαῖδρ. 238Α· ἐντεῦθεν οἱ ποιηταὶ συχνάκις συνάπτουσιν αὐτὴν μετὰ τοῦ **κόρου** (ἴδε **κόρος** Α. ἐν τέλει)· — ὡς κατηγορούμ. πράξεων, ἆρ' οὐχ ὕβρις τάδ'; Σοφ. Ο. Κ. 883· ταῦτ' οὐχ ὕβρις ἐστί; Ἀριστοφ. Νεφ. 1299, πρβλ. Βατρ. 21, Πλ. 886· ὕβρις τάδ' ἐστί, κρείσσω δαιμόνων εἶναι θέλειν Εὐρ. Ἱππ. 474· — ὕβρει, χλευαστικῶς, Σοφ. Ἠλέκ. 881· ἐφ' ὕβρει Εὐρ. Ὀρ. 1581, Δημ. 526. 19, κλπ.· δι' ὕβριν ὁ αὐτ. 527. 26· διὰ τὴν ὕβριν Ξεν. Ἑλλ. 2. 2. 10· εἰς ὕβριν Πλουτ. Ἀλκιβ. 37, κλπ. **2)** μάλιστα ἐπὶ σφοδρᾶς σαρκικῆς ἐπιθυμίας ἢ ἀσελγείας, ἀντίθετον τῷ **σωφροσύνη**, Θέογν. 379, Ξεν. **3)** ἐπὶ σφριγώντων ἵππων, τὸ ἀτίθασον, τὸ ἀχαλίνωτον αὐτῶν, Ἡρόδ. 1. 189· ὕβρις ὀρθία κνωδάλων Πινδ. Π. 10. 55, πρβλ. Ν. 1. 75 (ἴδε **ὑβρίζω** Ι). **4)** οἴνου ὕβρις, ἡ ζύμωσις αὐτοῦ, μνημονευόμ. ἐκ τοῦ Αἰλ. **II.** ὕβρισμα, τρόπος αὐθάδης, πρᾶξις αὐθάδης καὶ ἀκόλαστος, κακὴ μεταχείρισις, αὐθάδεια, ἀκολασία, προσβολή (ἂν καὶ πολλάκις εἶναι δυσχερὲς νὰ χωρίσῃ τις τὴν συγκεκριμένην ἔννοιαν ἀπὸ τῆς ἀφῃρημένης), Ἰλ. Δ. 203, 214· ὕβριν τῖσαι Ὀδ. Ω. 352· ἐνίοτε ὡς τὸ **ὑβρίζω**, μετὰ ἐμπροθέτου προδιορισμοῦ, ἀθάνατον Ἥρας μητέρ' εἰς ἐμὴν ὕβριν Εὐρ. Βάκχ. 6· ἡ κατ' Ἀργείους ὕ. Σοφ. Ἀποσπ. 337· ἡ πρὸς τοὺς δημότας ὕ. Ἡρῳδιαν. 2. 4· ὡσαύτως μετὰ γεν. ἀντικειμενικῆς, ὕ. τινος, πρός τινα, ὁ αὐτ. 1. 8, κλπ.· — ἐν τῷ πληθ. πράξεις ἀκόλαστοι καὶ αὐθάδεις, προσβολαί, Ἡσ. Ἔργ. κ. Ἡμ. 145, Ξενοφάν. 1. 1, Εὐριπ. Βάκχ. 247, Ἡρ. Μαιν. 741, Ξεν., κλπ.· — περὶ τοῦ ὕβριν ὑβρίζειν, πρβλ. **ὑβρίζω** Π. 2.

2) ἀσελγὴς ὑβριστικὴ πρᾶξις, Πινδ. Π. 2. 52· τὸ διαφθείρειν καὶ μοιχεύειν γυναῖκα ἔγγαμον καὶ οὕτως αἰσχύνειν μὲν τοὺς παῖδας ὑβρίζειν δὲ τὸν ἄνδρα τῆς γυναικός, Λυσί. 92. 4, κλπ.· τὸ φθείρειν ἀσελγῶς, παίδων ὕβρεις καὶ γυναικῶν αἰσχύνας Ἰσοκρ. 64D, ἔνθα ἴδε σημ. Κοραῆ, πρβλ. δὲ καὶ 89Α· ἀσελγὴς πρᾶξις, ἀσέλγεια, τὴν ὕ. τὴν εἰς τὸ ἑαυτοῦ σῶμα Αἰσχίν. 16. 25· ὕβριν τοῦ σώματος πεπρακὼς ὁ αὐτ. 26. 41· οὕτω, πιπράσκειν τὸ σῶμα ἐφ' ὕβρει ὁ αὐτ. 5. 5· γυναῖκας δοῦρ' ἤγαγεν ἐφ' ὕβρει Δημ. 440. 7· γυναικῶν ὕβρεις ἢ εἰς αὐτοὺς ἢ εἰς υἱεῖς Ἀριστ. Ῥητορ. 1. 12, 35. **3)** ἐν Ἀθήναις ὁ νόμος ὕβρεως (Δημ. 525. 14) ἦτο λίαν σπουδαῖος καὶ περιελάμβανε πάσας τὰς μᾶλλον σοβαρὰς προσωπικὰς βλάβας· ἡ δημοσία γραφὴ ὕβρεως εἰσήγετο πρὸς τιμωρίαν πάσης βλάβης προερχομένης ἐξ ὑβριστικῆς ἐπιθέσεως (ὕβρις δι' αἰσχρουργίας)· καὶ ἐπὶ τοιαύτης ἐννοίας ἀνεφέρετο εἰς τὰς αὐτὰς ὑποθέσεις εἰς ἃς καὶ ἡ δίκη αἰκίας (ἴδε **αἰκία**)· ὁ ἀγὼν ἦτο **τιμητός** (ἴδε ἐν λέξ.), καὶ ὡς ποινὴ ἠδύνατο νὰ ᾖ καὶ θάνατος· ἐξεδικάζετο δὲ ἐνώπιον τῶν Θεσμοθετῶν, Ἰσοκρ. 396Α, Αἰσχίν. 3. 14, Δημ. 970, 11., 1102. 18· μία τῶν ἐπισημοτάτων τούτων δικῶν γνωστὴ ἡμῖν εἶναι ἡ ὑπὸ τοῦ Δημοσθένους κινηθεῖσα κατὰ Μειδίου, ἔνθα ἴδε καὶ τὸν περὶ ὕβρεως Νόμον, 529. 15· πρβλ. Att. Process α' 319 κἑξ., 548 κἑξ., Λεξικ. τῶν Ἀρχαιοτ. — Κατὰ Σουΐδ.: «ὕβρις, ἡ μετὰ προπηλακισμοῦ καὶ ἐπηρείας, αἰκία δὲ πληγαὶ μόνον, κτλ.». **III.** κεῖται ἐπὶ κινδύνου ἐν θαλάσσῃ ἕνεκα τρικυμίας, Πίνδ. (ἴδε ἐν λ. **ναυσιστονος**), Πράξ. Ἀποστ. κζ', 21.

IV. ὡς ἀρσ. = **ὑβριστής**, κακῶν ῥεκτῆρα καὶ ὕβριν ἄνερα, «κακοῦργον καὶ ὑβριστὴν ἄνθρωπον» (Πρόκλος), Ἡσ. Ἔργ. κ. Ἡμ. 189. **II.** ὄνομα Σατύρου, Συλλ. Ἐπιγρ. 8398.

ὕβρις, **ἴδος**, ἡ, νυκτερινὸν σαρκοβόρον πτηνόν, ἴσως ὁ ὦτος, κοινῶς «μποῦφος», Strix bubo, Ἀριστ. π. τὰ Ζ. Ἱστ. 9. 12, 5.

ὑβρίσδω, Δωρ. ἀντὶ **ὑβρίζω**.

ὕβρισμα, τό, πρᾶξις θρασεῖα καὶ ἀλαζονικὴ καὶ ἀκόλαστος, προσβολή, κάκωσις, Λατ. contumelia, Ἡρόδ. 7. 160, Εὐρ., κλπ., ὕβρισμα.. ἐς τούτους εἶχε ἐκ τῶν Σαμίων γενόμενον Ἡρόδ. 3. 48· τόδ' ὕβρισμ' ἐς ἡμᾶς ἠξίωσεν ὑβρίσαι Εὐρ. Ἡρακλ. 18, πρβλ. Ξεν. Ἀθην. 3. 5· τὰ τούτων ὑβρίσματα εἰς ἐμὲ Δημ. 540. 20· πρβλ. **ὑβρίζω** Π. 2. **II.** ἀντικείμενον ὕβρεως, ὕβρισμα θέσθαι τινά = **ὑβρίζειν**, Εὐρ. Ὀρ. 1038. **III.** τὸ ἀφῃρημένον ἀντὶ τοῦ συγκεκριμένου, τετρασκελὲς ὕβρ. = τετρ. ὑβρισταί, ἐπὶ τῶν Κενταύρων, ὁ αὐτ. ἐν Ἡρ. Μαιν. 181. — Ἴδε Κόντου Γλωσσ. Παρατηρ. σ. 419.

ὑβρισμός, ὁ, = τῷ προηγ., ὕβριζ' ὑβρισμοὺς οὐκ ἐναισίμους Αἰσχύλ. Ἀποσπ. 176.

ὑβριστέος, α, ον, ὃν δύναταί τις ὑβρίζειν, Δημ. 1271, 6.

II. ὑβριστέον, δεῖ ὑβρίζειν, Γρηγ. Ναζ. Ἴαμβ. 20. 27.

ὑβριστήρ, **ῆρος**, ὁ, ποιητικ. ἀντὶ τοῦ ἑπομ., Ὀππ. Κυν. 1. 416· χάλος Νόνν. Δ. 46. 5· ὑβριστῆρες ἴαμβοι Ἀνθολ. Π. 7. 352· — **ὑβριστῆρσι** εἶναι διάφορ. γραφ. ἀντὶ **ὑβριστῇσι** ἐν Ἰλ. Ν. 633.

φρᾰτριᾰτικός, ή, όν, νόμος φρατριατικὸς = τῷ Λατ. lex curiata, Δίων Κ. 37. 51, κ. ἀλ.

φρᾰτριεύς, έως, ὁ, = φράτηρ, Διον. Ἁλ. 2. 64.

φρᾰτρίζω, μέλλ. **-ίσω,** = φρατριάζω, Φώτ. Ἀρποκρ., κλπ.· πρβλ. **φρατριάζω.**

φρατρικός, ή, όν, = φρατριατικός· ἐκκλησία φρατρικὴ = Λατ. comitia curiata, Διον. Ἁλ. 4. 20.

φράτριος, α, ον, Ἰων. **φρήτρ-,** ὁ ἀνήκων εἰς φράτραν ἐν Ἀθήναις, ἐπίθετον τοῦ Διὸς καὶ τῆς Ἀθηνᾶς ὡς προστατῶν τῶν φρατριῶν, Πλάτ. Εὐθύδ. 302D, Δημ. 1054. 10· Ζεὺς ἔστι μοι ἑρκεῖος, ἔστι φράτριος, τὰ τέλη τέλῶ Κρατῖνος Νεωτ. ἐν «Χείρωνι» 1. 5 (ἐν τοῖς βιβλ. φρατόριος) καὶ ἐν ἄλλοις τόποις, Συλλ. Ἐπιγρ. 2555. 11, 2347g (προσθῆκαι)· αἱ θεοὶ οἱ φρήτριοι αὐτόθι 5785. 26, πρβλ. 5787, -89, 5802b. **II. φράτριον,** τό, ναὸς τῶν θεῶν τούτων, ἢ πᾶν ἱερὸν οὗ χρῆσιν ἐποιεῖτο ἡ φρατρία, Στέφ. Βυζ., Πολυδ. I'', 52.

φράττω, Ἀττικ. ἀντὶ **φράσσω.** Ἴδε.

φράτωρ, ορος, ἴδε ἐν λέξ **φράτηρ.**

φρε-άντλης, ου, ὁ, ὁ ἀντλῶν ἐν φρέατος, οὕτως ἐκαλεῖτο ὁ φιλόσοφος Κλεάνθης, «ὡς γε πένης ὢν ἄγαν ὤρμησε μισθοφορεῖν, καὶ νύκτωρ μὲν ἐν τοῖς κήποις ἦντλει, μεθ' ἡμέραν δὲ τοῖς λόγοις ἐγυμνάζετο ὅθεν καὶ φρεάντλης ἐκλήθη» Διογ. Λ. 7. 168.

φρέαρ, τό, γενικ. **φρέατος,** (ἴδε ἐν τέλει), συνηρ. **φρητός** (κατὰ τὸν Χοιροβοσκ. παρὰ τῷ Μεγ. Ἐτυμ. 800. 10)· Ἐπικ. πληθ. **φρείατα.** Πηγὴ ὕδατος τεχνικῆ (διακρινομένη κατὰ τοῦτο τῆς **κρήνης,** πρβλ. Δημ. 186. 16), πᾶσαι κρῆναι καὶ φρείατα μακρὰ νάουσιν Ἰλ. Φ. 197· ὁ κοινὸς τύπος πρῶτον ἐν Τμν. Ὁμ. εἰς Δήμ. 99, Ἡρόδ. 6. 119). **2)** μυθ' Ὁμήρου ὡς καὶ νῦν, καὶ ὡς «πηγάδι», Λατ. puteus, Ἡρόδ. 1. 68., 4 120, Θουκ. 2. 48, 49· εἰς φρ. καταβαίνειν καὶ κολυμβᾶν Πλάτ. Λάχ. 193C, πρβλ. Πρωτ. 350Δ· φρ. ὀρύσσειν Σέξ. Ἐμπειρ. π. Μ. 8. 120· ποιητὰ φρ., ἴδε **ποιητός** I· — καθόλου, βόθρος, ὄρυγμα, Ἑβδ. (Ψαλμ. ΝΔ', 24)—ἀγγεῖον ἐλαίου, Ἀριστοφ. Πλ. 810. **3)** μεταφορ., εἰς φρεάτα τε καὶ πᾶσαν ἀπορίαν εἰσπίπτειν Πλάτ. Θεαίτ. 174C· ἐν φρέατι συνεχόμενος αὐτόθι 165Δ· ἡ περὶ τὸ φρέαρ ὄρχησις, παροιμία ἐπὶ ἀνθρώπων εὐδοκιμούντων εἰς τὰ χείλη τοῦ ὀλέθρου, Πλούτ. 2. 68Δ· πίνειν ἐξ ἀργυροῦ φρέατος, παροιμία ἐπὶ ἀνθρώπου πολυπόνου, Ἀθήν. 192Δ, 461C.

(Πρβλ. Γοτθ. bruona, Ἀρχ. Γερμ. brunno, Γερμ. brunnen, Ἀρχ. Ἀγγλ. burn, bourne)· ἴσως (ὡς νομίζει ὁ Grimm) συγγενὲς τῷ fervere (bremen)· ἴδε Κούρτ. ἀρ. 415). [Ἀττικ. γεν. **φρεᾶτος.** Ἀριστοφ. Ἐκκλ. 1001, ἐν Εἰρήνῃ δευτέρᾳ 3 (Meineke), Στράττις ἐν «Ψυχασταῖς» 1, Ἄλεξις ἐν «Παρασίτῳ» 2, Ἀπολλόδωρος ὁ Γελῷος ἐν «Ἀπολειπούσῃ» 1· οὕτω **φρεᾶτιαῖος** πρβλ. **κέρας**].

φρεάρριος, ου, ἐπίθετον Δήμητρος, Ἐπιγρ. Ἀθηνῶν, CIA. III, 375.

φρεάτια, ἡ, ὑδροθήκη, δεξαμενή, Ξεν. Ἑλλ. 3. 1, 7 (πρβλ. **φρεατίας**), Πολύβ. 10. 28, 2.

φρεᾰτιαῖος, α, ον, ὁ ἀνήκων εἰς φρέαρ ἢ δεξαμενήν, ὕδωρ Θεοφρ. περὶ Φυτ. Αἰτ. 2. 6, 3· φρ. ὕδωρ, «νερὸν πηγαδήσιον», Ἑρμιππος ἐν «Κέρκωψι» 3· φρ. ὕδατα, ἐν ἀντιθέσει πρὸς τὰ ῥυτά, Πλούτ. 2. 954C, πρβλ. Ἀριστ. Μετεωρ. 2. 1, 6.— Ἀπαξ ᾗ καὶ ὁ παρεφθαρμένος τύπος **φρεατίδιος** αὐτόθι 691B.

φρεᾰτίας ὑπόνομος, ὁ ὑπόγειος ὀχετὸς φέρων εἰς δεξαμενήν, Schmid εἰς Ξεν. Ἑλλ. 3. 1, 7· ἀλλὰ τὸ χωρίον εἶναι σκοτεινόν, καὶ ἀλίγον κατωτέρω ἀπαντᾷ θηλ. ἡ φρεατία.

φρεάτιον, τό, ὑπόκυρια, τοῦ **φρέαρ,** Μοῖρις **193.** [ᾰ Ἀττικ.].

φρεάτιος, α, ον, = φρεατιαῖος, ἐν τόποις τοῖς μὴ ἔχου-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σιν ὕδωρ, μήτε ἐπίρρυτόν, μήτε πηγαῖον, μήτε φρεάτιον Γεωπον. 2. 6, 33, Σουΐδ.

φρεατ-ορύκτης, ου, ὁ, = **φρεωρύχος, ὁ,** ὀρύττων, σκάπτων φρέατα, Ἐτυμολ. Μέγ. 799. 41.

φρεᾶτο-τύπᾶνον, [ῠ], τό, μηχανὴ πρὸς ἄντλησιν ὕδατος, ἴσως «μαγγανοπήγαδον», Πολυδ. Ἑλλ. Ἀποσπ. 135, καὶ αὐ ὀθι σημ.

Φρεαττώ, ἡ Φρεατώ, οῦς, ἡ, δικαστήριον ἐν Πειραιεῖ, εἰς ὃ εἰσήγοντο δίκαι ἐπὶ ἀνθρωποκτονίᾳ—τῶν μὲν κατηγορουμένων ὄντων ἐπὶ πλοίου τῶν δὲ δικαστῶν ἐπὶ τῆς ξηρᾶς· μόνον κα ἀοτ., ἐν **Φρεαττοῦ** Δημ. 645. 26., 646, 9, Ἀριστ. Πολιτικ. 4. 16, 3, ἴδε Ἁρποκρ. ἐν λέξ. ἐν **Φρεαττοῖ**·—ἡ ὀνομαστικὴ φέρεται **Φρεαττὺς** παρὰ Παυσ. 1. 28, 11.

φρεᾰτώδης, ες, (εἶδος) ὅμοιος πρὸς φρέαρ, χάσμα Σχόλ. εἰς Ἀριστοφ. Πλ. 431.

φρεῖαρ, ᾰτος, τό, Ἐπικ. ἀντὶ **φρέαρ,** Ἰλ. Φ. 197, Νικ. Θηρ. 486.

φρεν-απάτης, ου, ὁ, φρεναπατῶν, ματαιολόγοι καὶ **φρεναπάται** Ἐπιστ. πρὸς Τίτ. α' 10· — **φρεναπᾰτάω,** ἐξαπατῶ, ἑαυτὸν Ἐπιστ. πρὸς Γαλάτ. Ϛ', 3, Γαλην.· πρβλ. «φρεναπατᾷ, χλευάζει» Ἡσύχ., Ἐτυμ. Μέγ. 811. 3. — Ἴδε Κόντου Γλωσσ. Παρατηρ. σ. 289.

φρενερημία, ἡ, ἐρημία φρενῶν, Διδ. Ἀλεξ. σ. 992, Ἐκδ. Μι.

φρενήρης, ες, γεν. **εος,** ὁ ἁρμὸς τὰς φρένας, ὑγιὴς τὸν νοῦν, φρόνιμος, ἀρτίφρων, Λατιν. compos mentis, ἀντίθετον τῷ ἐμμανής, Ἡρόδ. 3. 25, πρβλ. 30. 35, Εὐρ. Ἡρακλ. 150, κλπ. — Ἴδε Κόντου Γλωσσ. Παρατηρ. σ. 34 κἑξ.

φρένησις, εως, ἡ, τὸ Λατ. phrenesis, **φρενῖτις,** Senec. de Ira 1. 13, 3, Juv. 14. 136, Ser. Samm. 7. 90, κλπ.

φρενήτης, ου, ὁ, μεταγεν. τύπος ἀντὶ **φρενῖτις,** Κύριλλ. Ἱεροσ. ἐν τῷ Προοιμ. 6.

φρενητιάω, -ίζω, πλημμ. γραφ. ἀντὶ **φρενιτ-,** Πλουτ. Ἀλέξ. 75., 2. 1128D.

φρένιον, τό, φυτὸν τὸ καὶ **ἀνεμώνη** καλούμενον, Πλιν. h. n. XXI, 94.

φρενῖτιαῖος, α, ον, = **φρενιτικός,** διάφορ. γραφ. ἐν Ἱππ. Ἐπιδημ. τὸ γ' 1079.

φρενῖτιᾶσις, ἡ, = **φρενῖτις,** «παρακοπὴ φρενῶν, ἡ φρενιτίασις» Σουΐδ.

φρενῖτιάω, = τῷ ἑπομ., Πλουτ. Ἀλέξ. 75·— **φρενητεάω** εἶναι πλημμ. γραφ. παρὰ τῷ Ἐπιφαν. κλπ.

φρενῖτίζω, ἔχω ἰσχυρὸν πυρετόν, κατέχομαι ὑπὸ παραφροσύνης, μαίνομαι, Πλούτ. 2. 693Α, 1128D, Σέξτ. Ἐμπ. Μ. 7. 247· —**φρενετίζω** εἶναι πλημμ. γραφ. παρὰ τῷ Ἀλεξ. Τραλλ.

φρενιτικός, ἡ, όν, ὁ πάσχων ἐκ **φρενίτιδος,** Ἱππ. Ἀφορ. 1252· τὰ φρ. (ἐξυπακ. νοσήματα), ὁ αὐτ. ἐν Ἐπιδημ. τὸ α', 944·—**φρενητικός** εἶναι πλημμ. γραφ. παρὰ τῷ Ἐπικτ., Ὀρειβ., κλπ.· εἰ καὶ ἐν τῇ Λατ. ὁ τύπος phreneticus φαίνεται ὅτι εἶναι ὁ ὀρθὸς κλπ.

φρενῖτις, ιδος, ἡ, (φρήν) φλεγμονὴ τοῦ ἐγκεφάλου, σφοδρὸς πυρετὸς μετὰ παραφροσύνης, Ἱππ. Ἀφορ. 1248, κλπ.· πρβλ. Foës. Oecon.—Ἴδε Κόντου Γλωσσ. Παρατηρ. σ. 38.

φρενιτισμός [ῐ], ὁ, μανία, παραφροσύνη, Πλούτ. παρὰ Στοβ. 402. 42.

φρενο-βάρβαρος, ον, βάρβαρος τὰς φρένας, Σώφρ ἐν Fabricii. Ἑλλ. Βιβλιοθ. τ. 7, σ. 485.

φρενοβλάβεια, ἡ, ἡ τῶν φρενῶν βλάβη, παραφροσύνη, μανία, τρέλλα, Διονύσ. Ἁλ. 5. 9, Λουκ. περὶ τῆς Συρ. Θεοῦ 18, Ἡσύχ.

φρενοβλᾰβέω, εἶμαι φρενοβλαβής, βεβλαμμένος τὰς φρένας, παράφρων, Σχόλ. εἰς Ἰλ. Υ. 232.

φρενο-βλαβής, ές, (βλάπτω) ὁ βεβλαμμένος τὰς φρένας, παράφρων, μανικός, Λατ. mente captus, Ἡρόδ. 2. 120, Εὔπολις ἐν «Μαρικᾷ» 5. 8, Λουκ., κλπ. — Ἴδε Κόντου Γλωσσ. Παρατηρ. σ. 34.

φρενοβλᾰβία, ἡ, ποιητ. ἀντὶ **φρενοβλάβεια,** Μανήθ. 6. 599.

φρενόβλᾰβος, ον,=**φρενοβλαβής,** Χρησμ. Σιβ. 8. 115.

φρενο-γηθής, ές, ὁ ἐμποιῶν χαρὰν εἰς τὰς φρένας, Ἀνθ. Π. 9. 525, 22.

φρενο-δᾰλής, ές, (δηλέομαι) ὁ βλάπτων, καταστρέφων τὰς φρένας, Αἰσχύλ. Εὐμ. 330, 343.—Ἴδε Κόντου Γλωσσ. Παρατηρ. σ. 35, καὶ Γραμματικὰ ἐν Ἀθηνᾶς τόμ. Α', 551.

φρενο-δῑνής, ές, ὁ κάμνων τὸν νοῦν νὰ περιστρέφηται, νὰ ἰλιγγιᾷ, Νόνν. Εὐαγγ. κ. Ἰω. 12. 109.

φρενο-θελγής, ές, ὁ θέλγων τὰς φρένας, θελκτικός, Πρόκλου Ὕμν. 2. 17, Νόνν. Διονυσ. 1. 406.

φρενόθεν, Ἐπίρρ., οἰκειοθελῶς, οὔποτε γὰρ **φρενόθεν** γ' ἐπ' ἀριστερὰ .. ἔβας, «ἦλθον οἴκοθεν, ἀπὸ οἰκείας γνώσεως» (Σχόλ.), Σοφ. Αἴ. 183.

φρενο-κηδής, ές, ὁ λυπῶν τὰς φρένας, ὁ θλίβων τὴν καρδίαν, Συνεσ. Ὕμν. 2. 85.

φρενο-κλόπος, ον, ὁ κλέπτων, ἐξαπατῶν τὰς φρένας, φρενοκλόπος ἔρως Ἀνθ. Πλαν. 198·—**φρενοκλοπέω,** «φρενοκλοπεῖ· ἐξαπατᾷ» Ἡσύχ.

φρενο-λῃπτέομαι, εἶμαι φρενόληπτος, πιθαν. γραφ. παρὰ Ἰω. Χρυσ. τ. 8, σ. 665Β, ἔνθα **φρενολυπεῖται.**

φρενό-ληπτος, ον, φρενοβλαβής, μανιώδης, παράφρων, τρελλός, Λατ. mente captus, Ἰω. Χρυσ τ. 5, σ. 880, 24, Ἰω. Δαμασκ. τ. 2, σ. 903Α.—Ἴδε Κόντου Γλωσσ. Παρατηρ. σ. 35.

φρενο-λῃστής, οῦ, ὁ, ὁ λῃστεύων τὸν νοῦν, ἀπατεών, πρβλ. **φρενοκλόπος.** τί κλαίεις φρενοληστά; Ἀνθ Παλ. 12. 144.

φρενόλυσσος, ον, ὁ λυσσῶν τὰς φρένας, Καισάρ. 1096, ἔκδ. Μι.

φρενο-μᾰνής, ές, ὁ ἔχων μανιώδεις φρένας, παράφρων **φρενομανής** τις εἶ Αἰσχύλ. Ἀγ. 1140.

φρενο-μόρως. Ἐπίρρ. (μόρος), εὑρηται μόνον ἐν τῇ φράσει νοσοῦντα **φρενομόρως,** Σοφ. Αἴ. 626· τοῦτο πρέπει νὰ σημαίνῃ: νοσοῦντα ἐκ μανίας· ἀλλ' ἐπειδὴ ἡ σημασία δυσκόλως δύναται νὰ θεωρηθῇ ὡς ὑπάρχουσα ἐν τῷ ἐπίρρ **φρενομόρως,** τῶν ἐκδοτῶν τις μετέβαλεν αὐτὸ εἰς **φρενομώρως** — παρὰ τὸ μέτρον· ὁ Meineke προτείνει **φρενοβόρως,** ὁ δὲ Jebb διατηρεῖ τὴν γραφὴν τῶν ἀντιγράφων.

φρενο-πλήγης, ες, ὁ πλήττων τὰς φρένας, ἄγων εἰς παραφροσύνην, **φρενοπλήγεῖς** μανίαι Αἰσχύλ. Πρ 879. — Γλωσσ. Παρατηρ σ. 35.

φρενό-πληκτος, ον, (πλήσσω), ὁ τὰς φρένας πλήγεις, παράφρων, Αἰσχύλ. Προμ. 1054.

φρενο-πλῆξ, ῆγος, ὁ, ἡ, = **φρενόπληκτος,** Ἀνθ. Π. 9. 141.

φρενο-πληξία, ἡ, μανία, Κ. Μανασσ. Χρον. 684.

φρενο-τέκτων, ον, ὁ ἐκ τῆς ἑαυτοῦ φρενὸς τεκταινόμενος καὶ συντιθείς, περὶ τοῦ Αἰσχύλου, Ἀριστοφ. Βάτρ. 820.

φρενο-τερπής, ές, ὁ τὰς φρένας τέρπων, Νόνν. Δ. 4. 135.

φρενο-φθόρος, ον, ὁ τὰς φρένας φθείρων, καταστρέφων, ὁ μωρίαν ἐπιφέρων, μωραίνων, ὁ Πισίδ. εἰς τὸν Μάταιον βίον 123.

φρενόω, μέλλ. **ώσω,** (φρὴν) βάλλω φρένας εἴς τινα, ποιῶ αὐτὸν φρόνιμον, σωφρονίζω, διδάσκω, τινα Αἰσχύλ. Πρ. 335, Σοφ. Ἀντ. 754, Τραχ. 52, Εὐρ. Ἰων 526· **φρενώσω** δ' οὐκέτ' ἐξ αἰνιγμάτων, δηλ. θὰ διδάξω οὐχὶ πλέον δι' αἰνιγμάτων, Αἰσχύλ. Ἀγ. 1183 ποιητ. ῥῆμα ἐν χρήσει παρὰ Ξεν. ἐν Ἀπομν. 4. 1, 5· φρ. τινὰ εἴς τι αὐτόθι 2. 6, 1. — Παθ., πεφρενωμένος Λουκ. Λεξιφάν. 19. **II** ἐν τῷ παθ. τύπῳ, ὑψηλοφρονῶ, εἶμαι ὑπερήφανος, Ἑβδ. (Β' Μακκ. 14', 4), Βαβρ. 101. 5.—Ἴδε Κόντου Γλωσσ. Παρατηρ ἐν Ἀθηνᾶς τόμ. Β, σ. 85.

φρεν-ώλης, ες, ἡ, ὁ ἀπολέσας τὰς ἑαυτοῦ φρένας, παράφρων, Αἰσχύλ. Θήσ. 757.—Ἴδε Κόντου Γλωσσ. Παρατηρ. σ. 38.

φρένωσις, εως, ἡ, διδασκαλία, νουθέτησις, Κλήμ. Ἀλεξ. 145, Ἡσύχ.

φρενωτήριον, τό, «φρενωτήριον· παραίνεσις» Ἡσύχ.

φρέω, μέλλ. **φρήσω,** κατὰ τὴν σημασίαν συγγενὲς τοῦ ἄγω καὶ ἧμι, ἀλλὰ κατὰ τὴν μορφὴν συγγενὲς τῷ φέρω· ἅπαντᾷ δὲ μόνον ἐν τοῖς συνθέτοις **διαφρέω, ἐκφρέω, εἰσφρέω, ἐπεισφρέω,** ἴδε,—πλὴν ὅτι τύποι τινὲς προστ. ἀορ. **φρὲς** (ὡς εἰ ἐξ ἐνεστ. **φρῆμι**) ἅπαντᾷ ἐν Κωμικ. Ἀνωνύμ. 188, πρβλ. Ἐτυμολ. Μέγ. 740. 12.—Ἴδε Κόντου Γλωσσ. Παρατηρ. σ. 500.

φρεωρῡχέω, ὀρύσσω, σκάπτω φρέατα, Στράβ. 773, Πλούτ. 2. 776D — ἐν Ἀριστοφ Λυσ. 1033, κωμικῶς ἐπὶ τῆς ἐμπίδος ἣ τοῦ κώνωπος, **φρεωρυχεί** με, ἀνοίγει φρέατα εἰς τὸ σῶμά μου.

φρεωρύχια, ἡ, τὰ σκάπτειν ἢ ἀνοίγειν φρέατα, Ἰωσήπ. Ἰουδ. Ἀρχ. 1. 18, 2.

φρεωρύχος, ον, ὁ χρησιμεύων εἰς τὸ ὀρύσσειν φρέατα, πενία Πλούτ. 2. 159C· ὁ **φρεωρύχος,** ὁ ὀρύσσων φρέατα, «πηγαδᾶς», Θεμίστ. 152C. Οἱ τύποι **φρεωρυκτέω, -ορύκτης,** μνημονεύονται παρὰ Σουΐδ., πρβλ. Λοβέκ. εἰς Φρύν. 232. Ἴδε Κόντου Κριτικὰ καὶ Γραμματικὰ ἐν Ἀθηνᾶς τόμ. Β', σ. 310.

φρήν. ἡ, γεν. **φρενός,** πληθ. **φρένες,** γεν. **φρενῶν,** δοτ. πληθ. **φρεσί.** Δωρ. **φραν,** δοτ. πληθ. **φρασί,** Πίνδ., πρβλ. Εὐσ. 32. 14, ἴδε ἐν τέλ.) **I.** κυρίως = τῷ παρὰ τοῖς μετέπειτα **διάφραγμα,** ὁ κυκλοτερὴς μῦς ὁ διαχωρίζων τὴν θωρακικὴν κοιλότητα ἐν ᾗ ἡ καρδία καὶ οἱ πνεύμονες (viscera thoracis) ἀπὸ τῆς κοιλότητος τῆς κοιλίας ἔνθα τὰ λοιπὰ σπλάγχνα (viscera abdominis), καρδία φρένα λακτίζει [Shakesp. 'my seated heart knocks at my ribs'), ἀλλ' ἀλλαχοῦ ἀεὶποτε ἐν τῷ πληθ., Αἰσχύλ. Προμ. 881, Ἱππ. περὶ Ἀρχ. Ἰητρ. 18, περὶ Ἄρθρ. 807· τὰς φρένας διάφραγμα ἐς τὸ μέσον αὐτῶν (δηλ. τοῦ θώρακος καὶ τοῦ κύτους) τιθέντες Πλάτ. Τίμ. 70 Α· τοῦτο δὲ τὸ διάζωμα καλοῦσί τινες φρένας, ὃ διορίζει τόν τε πνεύμονα καὶ τὴν καρδίαν Ἀριστ. περὶ Ζώων γεν. 3. 10. 1, πρβλ. περὶ τὰ Ζῶα Ἱστορ. 1. 17, 8., 2. 15, 5·—ἀλλά, **II** παρ' Ὅμ. διὰ τοῦ **φρὴν** ἢ **φρένες** ἐπὶ τῆς ὑλικῆς σημασίας νοοῦνται καθόλου τὰ περὶ τὴν καρδίαν μέρη, τὸ στῆθος, Λατ. praecordia, ἔνθ' ἄρα τε φρένες ἴρχαται ἀμφ' ἀδῖνον κῆρ Ἰλ. Π. 481· ἐνὶ φρεσὶ μαίνεται ἠτορ Θ. 413· ἔτι καὶ τὰ περὶ τὸ ἧπαρ μέρη, πρὸς στῆθος ὄθι φρένες ἦπαρ ἔχουσι Ὀδ. 1. 391· συχνάκις οἱ καλοῦνται φρένες ἀμφιμέλαιναι, Ἰλ. Α 103, κ. ἀλλαχ.· οὕτω,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

φρένας. εἰς αὐτὰς τυπεὶς Αἰσχύλ. Πρ. 361, πρβλ. Εὐμ. 159.

2) ἡ καρδία ὡς ἕδρα τῶν παθῶν, δηλ. τοῦ φόβου, τρομέοντο δέ οἱ φρένες αὐτῷ Ἰλ. Κ. 10, πρβλ. Χ. 296· τῆς χαρᾶς καὶ τῆς λύπης, φρένα τέρπεσθαι φόρμιγγι Ι. 186· γάνυται φρένα ποιμὴν Ν. 493· ἄχος, πόνος φρένας ἀμφεκάλυψεν Ἰλ. κλπ.· φρένας ἵκετο πένθος, ἄχος πύκασε φρένας, τῆς ἀγάπης ἢ τοῦ ἔρωτος, Ἰλ. Γ. 442· τῆς ὀργῆς, Ὀδ. Ζ. 147· τοῦ θάρρους, ἕνα φρεσὶ θυμὸν ἔχοντες Ἰλ. Ν. 487· ἐς φρένα θυμὸς ἀγέρθη Χ. 475, πρβλ. Θ. 202, κτλ.· τῶν σωματικῶν ὀρέξεων, οἷον τῆς πείνης, Α. 89· ὅθεν αἱ σκιαὶ τῶν νεκρῶν στεροῦνται τῶν φρενῶν ταύτων, ψυχὴ καὶ εἴδωλον, ἀτὰρ φρένες οὐκ ἔνι πάμπαν Ψ. 104·—ἀποδίδονται ὅμως εἰς τὴν σκιὰν τοῦ Τειρεσίου, Ὀδ. Κ. 493·—οὕτω παρὰ Πινδ. καὶ τοῖς Ἀττ. ποιηταῖς, δαιμόνων θέλγει φρένας Πινδ. Π. Ι. 21· φόβος μ' ἔχει φρένας Αἰσχ. Ἱκ. 379· μαινομένᾳ φρενὶ ὁ αὐτ. ἐπὶ Θήβ. 484.· Διὸς γὰρ δυσπαραίτητοι φρ. ὁ αὐτ. ἐν Πραμ. 34· ἐκ φρενός, ἐκ καρδίας, ὁ ἐκ φρενὸς λόγος, ἐγκάρδιος λόγος, ὁ αὐτ. ἐν Χο. 107· ἐτύμως ὀακρυχέων ἐκ φρενὸς ὁ αὐτ. ἐπὶ Θήβ. 919· οὐκ ἀπ' ἄκρας φρενός, οὐχὶ ἐπιπολαίως καὶ ἀμελῶς, ὁ αὐτ. ἐν Ἀγ. 803· φρενὸς ἐκ φιλίας αὐτόθι 1515, πρβλ. 546· μηδὲ πρὸς βίαν ἐμοῦ κολαστοῦ προστυχὼν φύσῃ φρένας, ἀκουσίως γένηται φρόνιμος, Σοφοκλ. Ἠλ. 1463. **3)** ἡ καρδία ἢ ὁ νοῦς, ὡς ἕδρα τῶν διανοητικῶν δυνάμεων, τῆς ἀντιλήψεως, τοῦ σκέπτεσθαι, φρενὶ νοεῖν, φράζεσθαι, ἐπίστασθαι κλπ., Ἰλ. Ι. 600, κλπ.· μετὰ φρεσὶ μερμηρίζειν, βάλλεσθαι Ὀδ. Κ. 438, Ἰλ. Ι. 434· ἴδμεν ἑνὶ φρεσὶν Β. 301· κατὰ φρένα εἰδέναι, γνῶναι, τιθέναι τινί τι ἐπὶ φρεσί, Α. 55, κλπ.· ποιεῖν τι ἑνὶ φρεσίν Ν. 55· θέσθαι ἢ βάλλεσθαί τι ἑνὶ φρεσὶ Ν. 121, Α. 297, κλπ.· ἐντεῦθεν καὶ αἱ φράσεις: φρένας τρέπειν, πείθειν, παραπείθειν, ἐπιγνάμπτειν Η. 120, Ι. 514, κλπ.·— οὕτω καὶ παρὰ Πινδ. καὶ τοῖς ποιηταῖς, σχεδὸν ὡς τὸ νοῦς· φρενὶ ὀρθᾷ, ἐλευθέρᾳ Πινδ. Ο. 8. 31, Π. 2. 105· μιᾷ φρενὶ Αἰσχύλ. Εὐμ. 986· φρένες γὰρ αὐτοῦ θυμὸν σιακοστρόφουν ὁ αὐτ. ἐν Πέρσ. 767· ἡ γλῶσσα ὁμώμοχ', ἡ δὲ φρὴν ἀνώμοτος Εὐρ. Ἱππόλ. 612· καὶ οὕτως εὑρίσκομεν συνημμένα, κατὰ φρένα καὶ κατὰ θυμόν, ὡς ἐν τῇ Λατ. mens animusque, Ἰλ. Δ. 193, κλπ.· (πρβλ. φρένας ἔχων καὶ νοῦν, Ἀριστοφ. Βάτρ. 535) — ὅθεν οἱ ἄνθρωποι χάνουσι τὰς φρένας δηλ. τὸν νοῦν των, περὶ φρένας ἦλυθεν οἶνος Ὀδ. Ι. 362, πρβλ. 454, Σ. 831· πλῆγη φρένας, ἃς πάρος εἶχεν Ἰλ. Ν. 394· ἐκ γὰρ πλήγη φρένας Π. 403· Ζεὺς βλάπτε φρένας ἡμετέρας Ο. 724 (ὅθεν βλαψίφρων, φρενοβλαβὴς)· θεοὶ φρένας ὤλεσαν Θ. 360· φρένας ἄφρων, φρένας ἠλέ ἢ ἠλεὲ Ο. 128, Ὀδ. Β. 213·—οὕτω παρ' Αττ. λέγεται ἐπὶ τῶν παθόντων τὸν νοῦν, φρενῶν ἀφεστάνσι, ἐκστῆναι, μεταστῆναι Σοφ. Φιλ. 865, Εὐρ. Ὀρ. 1021, Βάκχ. 943· τὰς φρένας ἐκβάλλειν Σοφ. Ἀντιγ. 648· ἔξω φρενῶν Πινδ. Ο. 7. 86· φρενῶν κεκομμένος Αἰσχύλ. Ἀγ. 479· κενὸς Σοφ. Ἀντιγ. 754· τητώμενος ὁ αὐτ. ἐν Ἠλ. 1326· ἔξεδρος, παράκοπος, Εὐρ. Ἱππ. 953, Βάκχ. 33· ποῦ ποτ' εἶ φρενῶν; satisne sanus es? Σοφ. Ἠλ. 390· φρένες διάστροφοι Αἰσχύλ. Πρ. 673, Σοφ. Αἴ. 447· μαργότης φρενῶν ὁ αὐτ. ἐν Ἀποσπ. 726· ἀνακίνησις φρ. ὁ αὐτ. ἐν Οἰδ. Τυρ. 727· κλπ.—καὶ ἐπὶ τῶν ὑγιῶς ἐχόντων, φρενῶν ἐπήβολος ὁ αὐτ. ἐν Ἀντιγ. 492· ἔνδον φρενῶν Εὐρ. Ἡρ. 709· ὅθεν ἔσω φρενῶν λέγειν, πείθειν, γράφεσθαι Αἰσχύλ. Ἀγ. 1052, Σοφ. Φιλ. 1325 κλπ.·— παρ' Ἡροδ. ἀντιτίθενται αἱ φρένες πρὸς τὸ σῶμα, 3. 134· οὕτω αἱ σάρκες κεναὶ φρενῶν Εὐρ. Ἠλ. 387.— Ὁ Ὅμ. ἀποδίδει φρένας καὶ εἰς τὰ κτήνη, μετὰ φρεσὶ γίγνεται ἀλκὴ Ἰλ. Δ. 245, πρβλ. Π. 157, κλπ. Τῆς λέξεως ταύτης σπανίως γίνεται χρῆσις παρὰ τοῖς δοκιμωτάτοις τῶν πεζῶν, οἷον συμφορὰ τῶν φρ., δηλ. παραφοσύνη, Ἀνδοκ. 20. 29· παραλλάττει τῶν φρ. Λυσ. Ἀποσπ. 58· φρενῶν ἀφορία Ξεν. Συμπ. 4. 55· πρβλ. Δημ. 332. 25., 780. 11. **4)** σῆς ἀπεστάτουν φρ. Σοφ. Ἀντιγ. 993, πρβλ. Οἰδ. ἐπὶ Κολ. 1182. —Ἐν τῇ χρήσει δὲν γίνεται φανερὰ διάκρισις μεταξὺ ἐνικοῦ καὶ πληθ. (Ἐκ τῆς √ΦΡΕΝ, παράγονται καὶ τὰ φρεν-όω, φρον-έω, φρόν-ις, φρον-τίς, φρον-τίζω. —ἐν συνθέσει τὸ φρὴν μεταβάλλεται εἰς φρων, π.χ. εὔ-φρων, κακό-φρων κλπ.)

φρήταρχος, ὁ = φρατρίαρχος. Συλλ. Ἐπιγρ. 5785, ἔνθα καὶ φρητρία καὶ φητρία κεῖνται ἀντὶ φρατρία).

φρητία, Ἰων. ἀντὶ φρεατία, «φρητία· στόμα φρέατος» Ἡσύχ· φρητίου, τό, Συλλ. Ἐπιγρ. 5430.

φρήτρη, ἡ, Ἰων. ἀντὶ φράτρα, Ἐπικ. ἀορ. φρήτρηφιν.

φρήτριος, η, ον, Ἰων. ἀντὶ φράτριος.

φρῖγος, εος, τό, πλημμ. γραφὴ ἀντὶ σφρῖγος παρὰ τῷ Ἑρμίππῳ ἐν «Στρατιώταις».

φρῑκάζω, μέλλ. άσω, φρίσσω, φρικιῶ, ἀνατριχιάζω, Ποιητὴς περὶ Δυνάμ. Βοτ. 5. 71.

φρῑκαλέος, ἐα, ον, ὁ φρίσσων, φρικιῶν, ἀνατριχιάζων ἐκ τοῦ ψύχους, Λατ. horrens, horribus, Ἱππ. περὶ Ἀρχ. Ἰητρ. 11.

2) ὁ ἔχων τραχεῖαν ἐπιφάνειαν, σπιλὰς Ἀνθ. Παλατ. 7. 382, Τρυφιόδ. (γράφε Τριφ-) 195. **II.** τρομερός, φοβερός φρικτός· Ἀνθ. Παλατ. 7. 69., 9. 300.

φρῑκασμός, ὁ, φρίκη, ἀνατριχίασις, τρόμος, κοινῶς «τρεμούλα», «ἀνατριχίλα», Ἑβδ. (Β' Μακκ. Γ', 17).

φρίκη, [ῑ], ἡ, = φρίξ, ὁ μικρὸς κυματισμὸς τῆς θαλάσσης, (ὡς τὸ Λατ. inhorrescit), Ἀϊλ. περὶ Ζώων 16. 19, Πλούτ. 2. 921 F, κλπ. **II.** φρικίασις, ἀνατριχίασις, «ἀνατριχίασμα», «τρεμούλα», Ἱππ. Ἀφορ. 1255, κ. ἀλλ.· μάλιστα τὸ ἐκ τοῦ ῥίγους, Πλάτ. Φαῖδρ. 251Α, Θεοφρ. Ἀποσπάσμ. 3. 74, Νικ. Θηρ. 721· ἐν τῷ πληθ., Ἀριστ. Πρβλ. 1. 39, κ. ἀλλ. **2)** «τρεμούλιασμα» ἐκ φόβου, φρικίασις ἢ μάλιστα ἐκ θρησκευτικοῦ σεβασμοῦ, φρίκης αὐτὸν ὑπελθούσης Ἡρόδ. 6. 134· τοίην φρ. παρέχεις μοι Σοφ. Οἰδ. Τύρ. 1306, πρβλ. Ἀποσπ. 921, Ξεν. Κύρου Παιδ. 4. 2, 15, Πλάτ. Πολ. 387C· —ἀκολούθως καθόλου, φόβος οἱασδήποτε δυνάμενος νὰ παραγάγῃ φρικίασιν, φρίκη τρομερὰν φρένα Εὐρ. Φοίν. 1285· ἐκπληχθεῖσα φρίκη ὁ αὐτ. ἐν Τρῳ. 183· φρίκη ματρὸς ὁ αὐτ. ἐν Ἴωνι 898· συνημμένων μετὰ τοῦ δέους, Ἐκπλῆξις, θάμβος, φόβος κλπ., Πλούτ. **III.** παγετός, ψῦχος δριμύ, παρὰ Γελλίῳ 17. 8. 7.

φρῑκια, τά, καὶ **φρῑκία**, ἡ, ἀνατριχιάσματα ἐκ ῥίγους, Διοσκ. 4. 14., 1. 181.

Φρῑκίας, ὁ, ὄνομα ἵππου παρὰ Πινδ. ἐν Π. 10. 25·—πιθανῶς ὡς ἐκ τῆς ἀνορθουμένης αὐτοῦ χαίτης.

φρῑκίασις, εως, ἡ, ἀνατριχίασμα, ἀνατριχίλα, Διοσκ. (ἐν τοῖς Νόθ.) σ. 478, πρβλ. Φαβρικ. Ἑλλ. Βιβλιοθ. 2. 654 (ἐκδόσ. 1).

φρῑκιάω, (φρῖξ) ὡς τὸ **φρῑκάζω**, ἀνατριχιάζω, τρεμουλιάζω, μάλιστα ἐκ ῥίγους, Ἥρξατο φρικιᾶν καὶ πυρέσσειν Ἰω. Μοσχοπ. Λειμ. 1058Α, κλπ.

φρῑκνός, ή, όν, = **φρικαλέος**, «φρικνόν· φρικαλέον, δεινόν, φοβερόν» Ἡσύχ.

φρῑκόομαι, Παθ., = **φρικάζω**, ἀνατριχιάζω, φρικιῶ, τρέμω, Γλωσσ

φρῑκο-ποιός, όν, ὁ ἐμποιῶν φρίκην, φρικίασιν, Δίφιλος Σίφν. παρ' Ἀθην. 74C.

φρῖκος, εος, τό, = **φρίκη**, φρικίασις, «ἀνατριχίλα», Νικ. Θηρ. 778.

φρῑκτο-βόας, ου, ὁ, ὁ φρικτῶς βοῶν, φωνάζων, Θεοδ. Προδρ. Ἐπ. 14.

φρῑκτοειδής, ές, φρικτὸς τὸ εἶδος, φρικώδης, Θ. Στουδ. σελ. 1796, ἔκδ. Mi.

φρῑκτός, ή, όν, ῥηματ. ἐπίθ. τοῦ **φρίσσω**, ὁ προξενῶν φρίκην, φρικώδης, φοβερός, Ὀρφ. Ὕμν. 13. 6, Πλουτ. Κικ. 49. καὶ συχν. ἐν τῇ Ἀνθολογίᾳ συγκρ. -ότερος, Πλουτ. Νουμ. 10· ὑπερθετ. -ότατος, Ἀθήν. 440E. — Ἐπίρρ. τῶς, Ἑβδ. (Σοφ. Σολ. Ϛ', 5).

φρῑκτο-τελής, ές, ὁ καθιερωμένος εἰς φοβερὰς καὶ μυστηριώδεις τελετάς, περὶ τῆς ἁγίας τραπέζης, τῇ φρικτοτελεῖ τραπέζῃ Ἰω. Δαμασκ. τ. 2, σ. 839C.

φρῑκώδης, ες, (εἶδος) ὁ ὑπὸ φρίκης ἢ φρικιάσεως συνοδευόμενος, πυρετὸς φρ., ὁ μετὰ φρικιάσεως ἢ ῥίγους, Ἱππ. Ἐπιδ. τὸ α' 949· δυσουρία φρ. ὁ αὐτ. ἐν Ἀφ. 1247· — τὸ φρικῶδες, ἡ τραχύτης, ἀνωμαλία τῆς ἐπιδερμίδος, οἷον ὅταν κατίσχηται τις ὑπὸ ἡπιάλου ἢ παροξυσμοῦ ῥίγους, Ἱππ., Γαλην. **II.** ἐμποιῶν φρίκην ἢ τρόμον, φοβερός, τρομερός, φρικτός, ὄψις Ἀριστοφ. Βάτρ. 1336 (λυρ.)· τὰ δεινὰ καὶ φρικώδη Ἀνδοκ. 5. 5· φρικώδη κλύειν, δεινὰ ἀκοῦσαι, Εὐρ. Ἱππ. 1202· καὶ συχν. παρὰ μεταγεν. πεζογράφοις, οἷον Ἀριστ. περὶ Θαυμ. 130. 2, Πλούτ., κλπ.·—οὐδ. φρικώδες, ὡς ἐπίρρ., φρικτῶς, Εὐρ. Ἱππόλ. 1216· — ὡσαύτως ἐπὶ θρησκευτικῆς εὐλαβείας, Πλουτ. Τιβ. Γράκχ. 21, Ἀριστείδ. 1. 256.—Ἐπίρρ. -δῶς, φρικωδέστατα ἔχειν, ἐπὶ τῆς φρίκης τοῦ δικαστηρίου, Δημ. 644. 18.

φρῑκωδία, ή, τὸ φρικῶδες, Νικόμ. ἐν Φωτ. Βιβλ. 143. 29.

φρῑμαγμός, ὁ, τὸ φριμάσσεσθαι, τὸ ἐκ τῶν μυκτήρων φυσᾶν, καὶ καθόλου, πᾶσα κίνησις τῶν ζωηρῶν ἢ θυμοειδῶν ζώων, ἰδίως τῶν ἵππων, Λυκόφρ. 244· τῶν αἰγῶν, Πολυδ. Ε', 88· πρβλ. τὸ ἑπόμ.

φρῑμάσσομαι, Ἀττ. -ττομαι· μέλλ. -ξομαι· ἀποθ. Φυσῶ διὰ τῶν μυκτήρων, πηδῶ ἢ σκιρτῶ, ἀκολασταίνω, ἐπὶ αἰγῶν, Θεόκρ. 5. 141, πρβλ. Πολυδ. Ε', 88· ὡσαύτως ἐπὶ τῶν σφόδρα θυμοειδῶν ἵππων, φριμάζασθαι καὶ χρεμετίσαι Ἡ ὁδ. 3. 87, πρβλ. Ἀνθ. Π. 9. 281·— ἂν καὶ περὶ αὐτῶν λέγεται ὅτι τὸ φρυάσσομαι κυριολεκτεῖται, Ἀϊλ. περὶ Ζώων, 6. 41, Valck. εἰς Ἀμμών., Θωμᾶς Μάγιστρ. σ. 901, Schäf. εἰς Διονύσ. Ἀλ. π. Συνθ. 196· ὡσαύτως ἐπὶ κυνῶν, πρβλ. Ὀππ. Κυνηγ. 1. 491. — Τὸ ἐνεργητ. φριμάω ἀπαντᾷ ἐν Ὀππ. Κυν. 1. 490. (Συγγενὲς ἴσως τῷ Λατ. fremo.)

φρῑν, = πρίν, Ἐποικ. Λοκρ. γράμ. ἔκδ. Ἰω. Οἰκ. στ. 6.

φρῑξ, ή, γεν. φρῑκός· (φρίσσω)· — ἡ φρικίασις, ἐλαφρὰ κυματοειδὴς κίνησις ὁμαλῆς ἐπιφανείας. **I.** ὁ ἐλαφρὸς κυματισμὸς ὃν ἐγείρει πνοὴ αἰφνίδιος ἀνέμου ἐπὶ τὴν ὁμαλὴν ἐπιφάνειαν τῆς θαλάσσης, Λατιν. horror, ὑπὸ φρικὸς Βορέω Ἰλ. Φ. 692· μελαίνῃ φρικὶ καλυφθείς, ἐπὶ τοῦ Πρωτέως ἀνερχομένου εἰς τὴν ἐπιφάνειαν τῆς θαλάσσης, Ὀδ. Δ. 402 (ἴδε ἐν λέξει ὑπαίσσω)·

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ζεφύροιο ἐχεύατο πόντον ἔπι φρίξ, ἐλαφρὸς κυματισμὸς ἐχύθη ἀνὰ τὴν ἐπιφάνειαν τῆς θαλάσσης ἐκ τοῦ Ζεφύρου, Ἰλ. Η. 63 (ἴδε τὰς λέξ. **μελάνω, φρίκη**)· οὕτω, μαλακὴν φρῖκα φέροι Ζέφυρος Ἀνθ. Π. 7. 668· φρικὶ χαρασσόμενα κύματα Ἀνθ. Παλ. 10. 14, πρβλ. 10. 2· — σπάνιον παρὰ τοῖς πεζογράφοις (ἴδε Αἰλ. περὶ Ζώων 15. 1)· **φρίκη** εἶναι ἡ παρ' αὐταῖς ἐν χρήσει λέξις.

II. ἀνατριχίασις, ἀόρθωσις τῶν τριχῶν, κριὸς βαθείῃ φρικὶ μαλλὸν ὀρθώσας Βαβρ. 93. 7· παροξυσμὸς ῥίγους, Ἱππ. 485, 15· φρὶξ ἐπέσχεν ὠτα καὶ κνήμας Βαβρ. 95. 59.

φριξ-αύχην, ενος, ὁ, ἡ, ὁ ἔχων ἀνορθωμένην τὴν χαίτην, σεισμοὶ φρ., οἱ δελφῖνες, Ἀρίων παρὰ τῷ Bgk. σ. 567· κάπρος Ποιητὴς παρὰ Πλουτ. 2. 462Ε

φριξό-θριξ, τρῑχος, ὁ, ἡ, ὁ ἔχων τὰς τρίχας ἀνορθωμένας, Κλήμ. Ἀλεξανδρ. 96. **II.** ὁ ὀρθῶν τὰς τρίχας, κάμνων νὰ σηκωθῶσιν αἱ τρίχες, Ἐτυμ. Μέγ. 800, 32, Σουΐδ.

φριξο-κόμης, ου, ὁ, = τῷ προηγ. I, φριξοκόμᾳ Παυλ Ἀνθ. Πλαν. 291.

φριξο-λόφος, ον, = **φριξαύχην,** «φριξολόφος· ὀρθοχαίτης» Ἡσύχ.

φριξός, ή, όν, ὁ ἐν φρικιάσει διατελῶν, ἀνορθωμένος, τρίχες φριξαί Ἀριστ. Φυσιογν. 5, 8., 6, 41. **II. φρῖξος,** ὁ, κωμικὸν ὄνομα τοῦ θεοῦ ἢ τοῦ δαίμονος τοῦ φόβου καὶ τοῦ τρόμου, Ἀνθ. Π. 9. 617.

φρίσσω, Ἀττικ. **φρίττω** Πλάτ. Πολ. 287C· μέλλ. **φρῐξω,** Χρησμ. Σιβ. 3. 679, κλπ., ἴδε κατωτ. II. 2· — ἀόρ. **ἔφρῐξα** Ἰλ., Ἀττ.· — πρκμ. **πέφρῑκα,** Ὁμήρ., Ἀττικ.· μετὰ ποιητικ. μετοχ. **πεφρῑκοντες,** Πινδ. Π. 4. 326· ὑπερσ. **ἐπεφρίκει** Πλούτ. 2. 781Ε, Ἀλκίφρων 1. 1. — Μέσ., ἀόρ. α' **ἐφρῐξάμην** Πολύαιν. 4. 6, 7. (Ἐκ τῆς √ΦΡΙΚ παράγονται ὡσαύτως αἱ λ. **φρίξ, φρίκη, φριξ-ός**· ἴσως συγγενὲς τῇ √FΡΙΓ, ἴδε ἐν λέξ. **ῥιγέω**). Ἡ φύσει, ὅθεν νεώτεροι ἐκδόται γράφουσι **φρῖσσον** ἐν Ἡσ. Ἀσπ. Ἡρ. 171· **φρῖξαι** ἐν Πινδ. Ι. 1. 16, Σοφ. Ἠλ. 1407]. Κινοῦμαι ὡς ἡ ἐλαφρῶς κυμαινομένη θάλασσα, ἡ ἐπιφάνειά μου καθίσταται ἀνώμαλος καὶ κυματοειδής, συνταράσσομαι, ἀνορθοῦμαι, Λατ. horrore, **φρίσσουσιν ἄρουρα** (ἐξυπακ. σταχύεσσι), «ὅτι πεπύκνωνται διανεστηκότες ταῖς χώραις οἱ στάχυες» (Σχόλ.), Ἰλ. Ψ. 599· οὕτω, **φρίξας κάρπιμος στάχυς** Εὐρ. Ἱκέτ. 31· ἐπὶ παρατάξεως· εἰς μάχην, **ἔφριξε δὲ μάχη** .. ἐγχείῃσι, «ἐπυκνώθη δὲ ἡ μάχη τῇ τῶν δοράτων ἀνατάσει· φρίσσειν γὰρ τὸ ἀρθοῦσθαι πυκνῶς» (Σχόλ.), Ἰλ. Ν. 339· **φάλαγγες** σάκεσίν τε καὶ ἐγχεσι **πεφρικυῖαι,** «τῇ ἀνατάσει τῶν δοράτων πεπυκνωμέναι» (Σχόλ.), Δ. 282, πρβλ. Η. 62· **φρίξας** εὐλόφῳ σφηκώματι, ἐπὶ τοῦ λόφου τῆς περικεφαλαίας, Σοφ. Ἀποσπ. 314· οὕτως ἐπὶ δένδρου, πεύκη **φρίσσουσα** Ζεφύροις Ἀνθ. Πλαν. 13· (ἀκριβῶς ὡς τὸ τοῦ Οὐεργιλίου horret ager aristis, καὶ τοῦ Ὁρατίου horrentia pilis agmina)· οὕτω, **φιάλα χρυσῷ πεφρικυῖα** (πρβλ. τὸ τοῦ Ἰουβεναλίου inaequales beryllo phialae), Πινδ. Ι. 6 (5). 59· **χερσὶ δεξιωνύμοις ἔφριξεν αἰθήρ,** ἐπὶ πλήθους ἀνθρώπων ὑψούντων τὴν χεῖρα ὅπως δείξωσι τίνα γνώμην ἀσπάζονται, Αἰσχύλ. Ἱκ. 608· ἐπὶ τριχῶν κόμης ἢ χαίτης, ἀνορθοῦμαι, σηκώνομαι, **φρίσσουσιν τρίχες** Ἡσ. Ἔργ. κ. Ἡμ. 538· **φρίσσουσιν ἔθειραι** Θεόκρ. 25. 244 ἐπὶ φυλλώματος, **φύλλα πεφρικότα,** ἐναντίθεται πρὸς τὸ **κεκλιμένα,** Θεοφρ. περὶ Φυτ. Ἱστ. 3. 9, 4· — μετὰ συντοίχ. αἰτ., **φρίσσειν λοφιήν,** ἀνορθοῦν τὴν ἑαυτοῦ χαίτην, Ὀδ. Τ. 446· **φρ. τρίχας** Ἡσιόδ. Ἀσπ. Ἡρ. 391· **φρ. νῶτον,** σύχενας Ἰλ. Ν. 473, Ἡσιόδ. Ἀσπ. Ἡρ. 171· χαίτην Ἀριστοφ. Βάτρ. 822· — ὡσαύτως, **πτεροῖσι νῶτα πεφρικόντες,** ἔχοντες ἀνορθωμένα τὰ κατὰ τὰ νῶτα πτερά, Πινδ. Π. 4. 326· **λέοντος δέρος χαίτῃ πεφρικὸς** Εὐρ. Φοιν. 1121. **2)** **φρίσσοντας ὄμβρους,** «τοὺς φρίσσειν ποιοῦντας ὄμβρους» (Σχόλ.), ὡς τὸ τοῦ Οὐεργιλίου horrida grando, Πινδ Π. 4. 144. **3)** **ἄσθματι φρίσσοντα πνοάς,** πνευστιῶντα, ἀναπνέοντα μετ' ἀγωνίας, ἐπὶ ἀνθρώπου ἀποθνήσκοντος, ὁ αὐτ. ἐν Ν. 10. 140. **4)** λέγεται ἐπὶ τῆς ἐλαφρῶς κυμαινομένης ἐπιφανείας ἡσύχου καὶ γαληνίου ὕδατος (πρβλ. **φρὶξ** I), **φρίσσει θάλασσα πνοιῇσι** Διον. Π. 112, πρβλ. Ἀλκίφρονα 1. 1· καὶ ἐπὶ τῶν κυμάτων, Ἀπολλ. Ῥόδ. Δ. 1575, Αἰλ. περὶ Ζ. 7. 33.

II. συχνάκις λέγεται ἐπὶ τοῦ αἰσθήματος τοῦ ῥίγους, ὅτε ἡ ἐπιδερμὶς συστέλλεται καὶ καθίσταται ἀνώμαλος, αἱ δὲ τρίχες ἀνορθοῦνται, «ἀνατριχιάζω», ὡς ἐν τῇ Λατιν. horrent comae, steterunt comae, (ἴδε Ἀριστ. περὶ τὰ Ζ. Ἱστ. 6. 2. 20, Προβλ. 8. 12., 33. 16., 35. 9, κ. ἀλλ.)· **1)** ἐπὶ τοῦ ἀποτελέσματος τοῦ φύχους, φρικιῶ, «τρεμουλιάζω», Ἡσ. Ἔργ. κ. Ἡμ. 510· ἐπὶ τῶν ὀδόντων ὅταν συγκρούωνται πρὸς ἀλλήλους ἐκ τοῦ φύχους, Διον. Ἁλ. π. Ρητ. 9 **2)** ἐπὶ τοῦ ἀποτελέσματος τοῦ φόβου, «ἀνατριχιάζω», φρικιῶ, Σοφ. Ἠλ. 1408, Τρ 1044· ὑπό τινος Ὕμν. Ὁμ. 27. 8· ἄλλως δὲ πολλὴν .. **ἔφριξα** δινήσαντος, κατελήφθην ὑπὸ φρικιάσεως ὅτε περιέστρεψε τὴν μεγάλην ἀσπίδα, Αἰσχύλ. Θήβ. 490· — ὡσαύτως μετ' αἰτ., ἀνατριχιάζω, τρέμω ἐνώπιόν τινος, οὔτε σε **πεφρίκασι** Ἰλ. Λ. 383· **πάντες δέ με πεφρίκασι** Ω. 775, πρβλ. Πινδ. Ο. 7. 70, Σοφ. Ἀντιγ. 997· **πέφρικα** .. Ἐρινὺν τελέσαι, τρέμω συλλογιζόμενος ὅτι ἡ Ἐρινὺς θά .., Αἰσχύλ. Θήβ. 720, πρβλ. Ἀριστοφ. Νεφ. 1133· — οὕτω μετὰ δοτ., ἐρετμοῖς φρίξουσιν, θὰ καταληφθῶσιν ὑπὸ φρίκης ἐπὶ τῇ θέᾳ τῶν κωπῶν, Ἡρόδ. 8. 96 (ἀλλ' ἴδε **φρύγω**)· — ὡσαύτως μετὰ μετοχ., **πέφρικα λευσσων,** ὑπὸ φρίκης καταλαμβάνομαι βλέπων, Αἰσχύλ. Ἱκέτ. 345· φρ. σε δερκομένη ὁ αὐτ. ἐν Πρ. 540, 695· καὶ μετ' ἀπαρεμφ., φοβοῦμαι τὰ πράξω τι, Δημ. 539. 8· — ὡσαύτως μετὰ προθέσ., φρ. πρὸς τοὺς πόνους Πλούτ. 2. 81Ε· φρ. ὑπὲρ ὧν προσήκει παθεῖν Δημ. 1230. 24. **3)** καταλαμβάνομαι ὑπὸ φρικιάσεως εἰσερχόμενος **εἰς** ναὸν **ἕνεκα** μεγάλης δεισιδαιμονίας, μηδὲ ὥσπερ ὑπὸ δεισιδαιμονίας ἐν Ἱερῷ φρίττειν ἅπαντα καὶ προσκυνεῖν Πλούτ. 2. 26Β, Ἰακωψ. Ἀνθ. Π. σ 1057. **4)** «ἀνατριχιάζω» ἐξ ὑπερβαλλούσης χαρᾶς, χαίρω ὑπερβαλλόντως, **ἔφριξ'** ἔρωτι Σοφ. Αἴ. 693, πρβλ. Αἰσχύλ. Ἀποσπ. 384, Ἑρμηνευτ. εἰς Εὐρ. Ἑλ. 632. — Παρὰ τοῖς πεζογράφοις σπάνιον πλὴν ἐπὶ τῆς σημασίας τοῦ τρομάζω, φρίττω, φοβοῦμαι, Πλάτ. Πολ. 387C, Φαῖδρ. 251A, Δημ. 190· ἄνωτ. πρβλ. **φρίξ, φρίκη.**

φροιμιάζομαι, φροιμιαστέον, ἴδε ἐν λ. **προοιμιάζομαι, -αστέον.**

φροίμιον, τό, συνηρ. ἀντὶ **προοίμιον,** ὡς τὸ **φροῦδος** ἀντὶ **πρόοδος.**

φρονέω, Ἐπικ. ὑποτ. **φρονέῃσι** Ὀδ. Η. 75, καὶ πληθ. **φρονέωϊ** Ἐπιγρ. Κύπρου ἐν Bezzenb. Beitr. 7. Kunde etc. VI, σ. 78. — Ἐπικ. παρατ. **φρόνεον** Ἰλ. Ρ. 286, **φρονέεσκον** Ἀπολλ. Ῥόδ. Δ. 1164. — μέλλ. **-ήσω,** ἀόρ. **ἐφρόνησα** Ἡσιόδ., Ἀττ. — πρκμ. **πεφρόνηκα** Διόδ. 18. 66. — Παθ., μόνον ἐν τῇ προστ. **φρονεέσθω,** Ἐπιστ. πρὸς Φίλιππον β', 5. Τὸ ῥῆμα τοῦτο ἐκφράζει τὴν ἐνέργειαν τῆς φρενὸς ἢ τῶν φρενῶν, δηλ. τὴν ἐνέργειαν οὐ μόνον τῆς διανοίας (= διανοοῦμαι, συλλογίζομαι), ἀλλὰ καὶ τὴν τῆς βουλήσεως· ὡς περ'που ἐν τῷ παρ' ἡμῖν ῥήματι «ἀνίπτομαι», ὅπερ σημαίνει οὐ μόνον τὴν ἐνέργειαν τῆς διανοίας (= διανοοῦμαι, συλλογίζομαι), ἀλλὰ καὶ τὴν τῆς βουλήσεως, ἢ ἐπιθυμίας (= σκοπεύω, ἔχω κατὰ νοῦν, ἐπιθυμῶ νά..). Ὁ Σφ ἐν τῷ Αἴαντι 941 ποιεῖται χρῆσιν τοῦ ῥήματος ἐπὶ τῆς σημασίας τοῦ κἀθάνομαί τι οὕτως ἔχον, εἶμαι βέβαιος, ἐναντιθέσει πρὸς τὸ νομίζω ἢ «πιστεύω», σοὶ μὲν δοκεῖν ταῦτ' ἔστ', ἐμοὶ δὲ καὶ φρονεῖν. Ἐντεῦθεν προκύπτουσι ποικίλαι χρήσεις. **1)** σκέπτομαι, συλλογίζομαι, ἔχω νοῦν, εἶμαι συνετὸς ἢ φρόνιμος, **σπάνιον παρ'** Ὅμ., ἀριστοτ. μάχεσθαί τε φρονέειν τε, εἴς τε τὸ μάχεσθαι καὶ εἰς τὸ σκέπτεσθαι ἢ κρίνειν τὰ πρήγματα, Ἰλ. Ζ. 79· αὕτη δὲ εἶναι ἡ συνηθεστάτη σημασία παρὰ τοῖς Ἀττ., [Ζῆνα] τὸν φρονεῖν βροτοὺς ὁδώσαντα Αἰσχύλ. Ἀγ. 176· **φρονεῦντως** γὰρ πρὸς φρονοῦντας ἐννέπεις ὁ αὐτ. ἐν Ἱκ. 204, πρβλ. 176· φρονεῖν γὰρ οἱ ταχεῖς οὐκ ἀσφαλεῖς Σοφ. Ο. Τ. 617. τὸ φρονεῖν, ὡς τὸ **φρόνησις,** νόησις, κρίσις ὀρθή, σύνεσις ὁ αὐτ. ἐν Ἀντιγ. 1348, 1353· **κράτιστοι φρονεῖν** Ἀντιφῶν 115. 4· καὶ φρ. καὶ συμπράττειν Ξεν. Κύρου Παιδ. 5. 5, 44· εἰδέναι καὶ φρ. Πλάτ. Ἀλκ. 1. 133 C· τὸ φρ. καὶ νοεῖν ὁ αὐτ. ἐν Φαίδρῳ 11 B· λέγειν τε καὶ φρ. ὁ αὐτ. ἐν Φαίδρῳ 266B, πρβλ. Ἰσοκρ. 50 E· ὁ μὴ λέγων ἃ φρονεῖ Δημ. 316, 28· — σχεδὸν = **σωφρονεῖν,** Σοφ. Τρηχ. 312· αἱ δύο λέξεις συνάπτονται ἐν Πλάτ. Νόμ. 712 A· τὸ μὴ φρονοῦν, ἐπὶ νηπίου, Αἰσχύλ. Χο. 753· ἐπειδὴ τάχιστα ἦρχετο φρ. Ἰσαΐας 76. 37· οἱ φρονοῦντες Σοφ. Αἴ. 1252· ἡ φρονοῦσα ἡλικία Αἰσχίν. 19. 34· οὕτω,

2) μετ' ἐπιρρημάτων, εὖ φρονεῖν Ἡρόδ. 2. 16· κερδίστατα σὺ φρονοῦντα μὴ φρονεῖν δοκεῖν Αἰσχύλ. Πρ. 385, πρβλ. Σοφ. Ἠλ. 394, Εὐρ. κ ἀλλ.· ἀλλὰ εὖ φρονῶ ὡσαύτως = εἶμαι καλῶς διατεθειμένος, ἴδε κατωτ.· **καλῶς φρ** Ὀδ. Σ. 168, Σοφ. Ο. Τ. 600 **ὀρθῶς φρ** Ἀνδοκ. 22. 32· ὀρθῶς φρ. πρός τι Αἰσχύλ. Πρ. 1000· **μάρα,** πλάγια φρ. Σοφ. Αἴ. 594, Εὐρ. Ι. Α. 332,

3) φρ. ὡς .., ὅτι .., Σοφ Ἀντιγ. 49, Ο. C. 872· **φρόνει** νιν ὡς ἥξοντα ὁ αὐτ. ἐν Τραχ. 288. **II.** σκέπτομαι, κατά τινα τρόπον, ἔχω κατὰ νοῦν, σκοπεύω, μελετῶ, μετ' αἰτ. καὶ ἀπαρ., Ἰλ. Γ. 98 μετ' ἀπαρ., ἔχω κατὰ νοῦν νὰ πράξω τι, Ρ. 286, πρβλ. Ι. 608· οὕτως ἄνευ ἀπαρ., οἳ δ' ἴδον φρόνεον [εἶναι], εἶχον κατὰ νοῦν νὰ χωρήσωσι πρὸς τὰ ἐμπρός, Μ. 124, Ν. 135· ἢ περ δὴ φρονέω [τελέσαι] Ι. 310· —φρονῶν ἐπρασσον, μηδενὸς ἐπιφθονοῦντος, Σοφ Οἰδ. ἐπὶ Κολ. 272· — οὕτω παρὰ πεζογράφοις, πειρεώμενος ὅ τι φρονέοιεν [τὰ μαντήια] Ἡρόδ. 1, 46· φρονεῖν τι, σημαίνω, δηλῶ, τοῦτο φρονεῖ ἡ ἀγωγὴ ἡμῶν, τοῦτο δηλοῖ τὸ ὅτι ἠνάγετε ἡμᾶς ἐνταῦθα, Θουκ. 5. 85 **2)** συχνότατα μετ' οὐδ. ἐπιθ. α) φρ. τινί τινα, (οὐδ. πληθ.), ἔχω σκέψεις τινὰς ἢ διαθέσεις πρός τινα, εἶμαι διατεθειμένος, κατά τινα τρόπον πρὸς αὐτόν, **πατρὶ φίλα φρονέων,** ἔχων «καλὰς διαθέσεις πρὸς τὸν πατέρα του, Ὀ. Δ. 219, πρβλ. Ὀδ. Ξ. 213, κλπ.· ὡσαύτως, **κακὰ φρονέουσι** .. ἀλλήλοισιν Ἰλ. Χ. 264· τῷ **ὀλοὰ φρονέων** Π. 701· **μαλακὰ φρ. τινι** Πινδ. Ν. 4. 155· **πιστὰ τινι** ὁ αὐτ. Ο. 3. 30· **τὰ ἀριστὰ τινι** Ἀριστοφ. Πλ. 577· οὕτω μετ' ἐπιρρ., εὖ φρονεῖν τινι [ἴδε ἀνωτ. I. 2), Ὀδ. Ζ. 74, Αἰσχύλ. Ἀγ 1436, κλπ.· **φρονεῖς εὖ τοῖς ἠγγελμένοις,** χαίρεις διὰ τὰ.., ὁ αὐτ. ἐν Χο. 774· —ὡσαύτως, **εὖ φρ. εἴς τινα**

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀνδοκ. 20. 16· τοιαῦτα φρ. περί τινος Ἰσοκρ. 39 C·—εἶμαι διατεθειμένος κατά τινα τρόπον, σκοπῶ ἢ σχεδιάζω τοιαῦτα καὶ τοιαῦτα, ἀγαθά φρ Ἰλ. Ζ. 162, Ὀδ. Α. 43· φίλα φρ. αὐτόθι 307· κακά Ρ. 596· κρυπτάδια φρ., ἔχω κρυπτοὺς σκοποὺς, κεκρυμμένα σχέδια, Ἰλ. Α. 542 ἀτάλα φρ , εἶμαι εὐθύμως διατεθειμένος, Σ. 567, Ἡσ. Θεογ. 989, πρβλ. Ἰλ. Ζ. 400· πυκνά ἢ πυκινά φρ., ἔχω συνετὰς σκέψεις, εἶμαι συνετὸς ἢ πανοῦργος, Ὀδ. Ι. 445· ἐφημέρια φρονέοντες, «τὰ παρὸν μόνον καὶ παραυτίκα σκοπούμενοι» (Εὐστ.), Φ. 85· οὕτω θεοῖσιν ἴσα φρ. Ἰλ. Ε. 441· θνητά φρ. Σοφ. Ἀποσπ. 515, Εὐρ. Ἄλκ. 799 ἀθάνατα Πλάτ. Τίμ. 90 C· οὐ κατ' ἄνθρωπον φρ. Αἰσχύλ. Θήβ. 425, Σοφ. Αἴ. 777· ὑπὲρ ἄνθρωπον ἐπί τινι Ξεν. Κύρου Παιδ. 8. 7, 3· μηδὲν ὑπὲρ τὴν πήραν φρ. Δουκ. Τίμ. 57·—οὕτω καί, καίρια φρ. Σοφ. Ἠλ. 228· σώφρονα ὁ αὐτ. ἐν Ἀποσπ. 62· τυραννικὰ φρ. Ἀριστοφ. Σφ. 507· ἀρχαϊκὰ φρ, ἔχειν πεπαλαιωμένας ἰδέας, ὁ αὐτ. ἐν Νεφ. 821· τὰ τῆς σαρκὸς φρ. Ἐπιστ. πρὸς Ῥωμ. η', 5· ὡσαύτως οὐ παρδάλιος τόσσαν μένος ὅσσαν Πάνθου υἷες φρονέουσιν, τὸ μένος τῆς παρδάλεως δὲν εἶναι τόσον ὅσον εἶναι τὸ φρόνημα τῶν υἱῶν τοῦ Πάνθου, Ἰλ. Ρ. 23·—ἀλλά, **β)** ἡ συνηθεστάτη φράσις τοῦ εἴδους ταύτου παρά τε Ὁμήρῳ καὶ τοῖς Ἀττ. εἶναι τὸ μέγα φρονῶ, μεγαλοφρονῶ, ἔχω μεγάλα ἢ ὑψηλὰ φρονήματα, «μεγάλας ἰδέας», ἔχω μέγα θάρρος, εἶμαι θαρραλέος καὶ ὑπερήφανος, Ἰλ. Α. 296, Ν. 156· λέγεται ἐπὶ λεόντων καὶ κάπρων ἀγρίων, Π. 758, Λ. 325, πρβλ. Ξεν. Κύρου Παιδ 7. 5, 62· φρονεῖ γὰρ ὡς γυνὴ μέγα Σοφ. Οἰδ. Τύρ. 1078, πρβλ. Λυσίαν 195. 14, Ἰσοκρ. 67Ε·—ἀλλὰ παρ' Ἀττ. ὡς ἐπὶ τὸ πλεῖστον ἐπὶ κακῆς σημασίας, ἔχω μεγάλας ἰδέας, εἶμαι ὑπερήφανος ἢ ἀλαζών, ἀλαζονεύομαι, ὑπερηφανεύομαι, ἐπί τινι, διά τι πρᾶγμα, ὡς τὸ **ἀβρύνεσθαι, καλλωπίζεσθαι**, Πλάτ. Συμπ. 217Α, Πρωταγ. 342D· (οὕτω, μεγάλα φρ Ἀριστοφ. Ἀχ 988)·—ὡσαύτως, ἐφ' ἑαυτῷ μέγα φρ. Θουκ. 6. 16, Ξεν. Ἑλλ. 7. 1, 27· (ἐπὶ ταύτης τῆς ἐννοίας οἱ μεταγενέστεροι χρῶνται ἁπλῶς τῷ φρ. ἐπί τινι, ἄνευ τοῦ **μέγα**, Παυσ. 1. 12, 5)·—μετὰ συγκρ., μεῖζον φρ., μεγαλοφρονῶ ὑπὲρ τὸ δέον, Ξεν. Ἀν. 5. 6, 8· ἀλλ' ἁπλῶς καί, λαμβάνω θάρρος, ὁ αὐτ. ἐν Ἑλλ. 3. 5, 21· φρ. μεῖζον ἢ κατ' ἄνδρα Σοφ. Ἀντ. 768· μεῖζον τοῦ δέοντος Ἰσοκρ. 141Β, πρβλ 122Ε· σπανίως ἐν τῷ πληθ., μείζω τῆς τύχης φρ. Εὐρ. ἐν Ἡρακλ. 933· μετὰ ὑπερθ., οἱ μέγιστον φρονοῦντες Πλάτ. ἐν Φαίδρῳ 257Ε· ἐπί τινι Ξεν. Ἀγησ. 2. 5· ὡσαύτως, μάλιστα φρ. ἐπί τινι Δημ. 836. 11· οὐ μεῖον φρ. ἐπί τινι Ξεν. Ἱππαρχ. 7. 3 πρβλ. Ἀπολ. 24·—ὁμοίως, φρ. μέγα ἐς τινα Εὐρ Ἱππόλ. 6· περί τι Αἰσχίν. 44 36· μέγα φρ ὅτι .. Ξεν. Κύρου Παιδ. 2. 3, 13· μέγα φρ. ὡς εἰδὼς Πλάτ. Συμπ. 198D· μέγα φρ., μὴ ὑπείξειν Ξενοφ. Ἑλλην. 5. 4, 45· ὡσαύτως καὶ μόνον τὸ **φρονεῖν** = μέγα φρονεῖν, Παυσ. 4. 1, 2·—οὕτω καί, φρ ἐπί τινι θαυμάσιον ὅσον Πλάτ. Συμπ. 217Α, πρβλ. Δημ. 534. 28· — ἀντίθετοι πρὸς τὰς φράσεις ταύτας εἶναι αἱ ἑξῆς : — σμικρὸν φρ., ἔχω ταπεινὸν φρόνημα, εἶμαι ἄνευ θάρρους, δειλός, Σοφ. Αἴ. 1120· μικρὸν φρον. Ἰσοκρ. 72C, Δημ., κλπ.· ἧσσον, ἔλασσον φρ. τινος Εὐρ. Ἀνδρ. 313, Φοίν. 1128, Ἰσοκρ., κλπ.· οὐ σμικρὸν φρ. ἐς τινα Εὐρ Ἡρακλ. 387·— καὶ μεταξὺ αὐτῶν ἔχομεν τὰ : μέτριον φρ., ἔχω μέτρια φρονήματα, εἶμαι ἀπαθής, ἥρεμος, μετριώτερον φρ. πρός τινα Ξεν. Κύρ. Παιδ. 4. 3, 7·—πρβλ. **σωφρονέω, ὑπερφρονέω.**

γ) ἐπὶ τῶν ἐχόντων τὴν αὐτὴν γνώμην, τά τινος φρονεῖν, ἔχω τὰ αὐτὰ ἅπερ καὶ ἄλλος τις φρονήματα, λαμβάνω τὸ μέρος τινός, Ἡρόδ. 2. 162, κλπ.· τὰ σά φρ. ὁ αὐτ. 7. 102· εὖ φρ. τὰ σά Σοφ. Αἴ. 491· φρ. τὰ Βρασίδου Ἀριστοφ Εἰρ 623· ἅρ' ἅπερ φρ. τινι ὁ αὐτ. ἐν Πλ. 577· ὡσαύτως, τὰ πρός τινα φρ., Ξεν. Ἀν. 7. 7, 30· (ὁ Ὅμηρ. ἔχει· καί, τὰ φρονέεις, ἄ τ' ἐγὼ περ Ἰλ. Δ. 361)· τὰ ἀμείνω φρ. περὶ τὴν Ἑλλάδα Ἡρόδ. 7. 145, 172, πρβλ. Θουκ. 2. 22· χεῖρον φρ. Ἰσοκρ. 184D· ὡσαύτως, ἴσον ἐμοὶ φρονέουσα, φρονοῦσα ὡς ἐγώ, ἔχουσα τὸ αὐτὸ καὶ ἐγὼ φρόνημα, Ἰλ. Ο 50, πρβλ. Σοφ. Ἀντιγ. 374· τὰ αὐτὰ. κατὰ ταὐτὸ φρ., ἔχω τὸ αὐτὸ φρόνημα, Ἡρόδ. 1. 60., 5. 3· ξυνῳδὰ φρ. τινι Ἀριστοφ. Ὄρν. 634·—ἀντίθετα πρὸς τὰς φράσεις ταύτας εἶναι τὰ: ἀμφὶς φρον., σκίπτομαι, νομίζω, φρονῶ κατὰ διάφορον τρόπον, Ἰλ. Ν. 345· ἄλλη φρονῶ, σκίπτομαι κατ' ἄλλον τρόπον, ἔχω ἄλλο φρόνημα, Ὑμν. Ὁμ εἰς Ἀπόλλ. 469 ἄλλα φρονέειν καὶ ἄλλα λέγειν Ἡρόδ. 9. 54 ἕτερα φρον. Δείναρχ. 96. 15.

III. ἔχω τι ἐν τῇ διανοίᾳ μου, σκέπτομαι, φροντίζω, προσέχω, γιγνώσκω, φρονέω Ὀδ. Π. 136, Ρ. 193, 281 ὁρώντων, φρονούντων, βλεπόντων Αἰσχίν. 67. 11·— μετ' αἰ ἰατ. πράγματος, σκέπτομαι περί τινος, συλλογίζομαι, κρίνω ἢ σταθμίζω τι ἐν τῇ διανοίᾳ μου, τὰ φρονέουσ' ἀνὰ θυμόν, Ἀ .. Ὀδ. Β. 116, πρβλ. Ἰλ. Β. 36· οὐκ ὄπιδα φρονέοντες ἐπὶ φρεσί, μηδόλως προσέχοντες, Ὀδ. Ξ. 82· πολλὰ φρονέοντα μηδενὸς κρατέειν Ἡρόδ. 9. 16· φρ. τὴν ἡμέραν, προσέχω, «δίδω προσοχήν» ἢ σημασίαν ἀποδίδω, Ἐπιστ. πρὸς Ῥωμ. εβ', 6. **IV.** κα-έχω τὰς φρένας μου καὶ οὕτω διατελῶ ζῶν, ἔχω τὰς αἰσθήσεις μου διατελῶ ἐν τῇ ζωῇ, ἐμὲ τὸν δύστηνον ἔτι φρονέοντ' ἐλέηφον, ἀντὶ ἔτι ζῶντα, Ἰλ. Χ. 59· θανόντι δ', οὐ φρονοῦντι, δειλαίᾳ χάρις ἐπέμπετο Αἰσχύλ. Χο. 517· ἐν τῷ φρον. γὰρ μηδὲν ἴδιστος βίος Σοφ. Αἴ. 554· μηδὲ ζῆν .., μηδὲ φρονεῖν Πλάτ. Σοφ. 249Α·— ἀλλ' ὡσαύτως, ἔχω τὰς φρένας μου, εἶμαι ἔμφρων, ἔχω σῶας τὰς φρένας, φρονοῦντα, ἀντίθετον τῷ **μεμηνότα**, Σοφ. Αἴ. 82, πρβλ. 341· ἔξω ἑλαύνειν τινὰ τοῦ φρονεῖν Εὐρ. Βάκχ. 853· ὀρθὰ φρ. ὁ αὐτ. ἐν Μηδ. 1129· ἐξέστηκα τοῦ φρονεῖν Ἰσοκρ 85Ε, πρβλ. Ξεν. Ἀπομν. 1. 3, 12· κέρδιστον εὖ φρονοῦντα μὴ δοκεῖν φρον. Αἰσχύλ. Πρ. 385, πρβλ. Σοφ. Οἰδ. Κολ. 1666, Ἀντιγ. 557· ἐγὼ νῦν φρονῶ τότ' οὐ φρονῶν Εὐρ. Μήδ. 1329· φρονῶν. οὐδὲν φρονεῖς, εἰ καὶ ἔχεις τὰς φρένας σου, ὅμως δὲν εἶσαι φρόνιμος, ὁ αὐτ. ἐν Βάκχ. 332· οὕτως, εὖ φρ. αὐτόθι 851, Ἀριστοφ. Νεφ. 817, κ. ἀλλ.·— ἄγαν φρονῶ, εἶμαι ὑπὲρ τὸ δέον φρόνιμος, Σοφ. Αἴ. 942· λίαν φρ. Εὐρ. Ἰφ ἐν Αὐλ. 924· πλέον φρ. Πλάτ. Ἱππ. Ἐλάττ. 371Α·— ζῶν καὶ φρονῶν, διατελῶν ἐν ζωῇ καὶ σῶας ἔχων τὰς φρένας, συχν. ἐν Ἐπιγραφαῖς, οἷον Συλλ. Ἐπιγρ. 2026,-32,-43, 3292, κ. ἀλλ.· νοῶν καὶ φρονῶν αὐτόθι 2448. 1, 1. Ἴδε Κόντον ἐν Ἀθηνᾶς τόμ. Δ', σ. 76.

φρονέωσι, = **φρονέωσι** ἴδε **φρονέω** ἐν ἀρχῇ.

φρόνημα, τό, ὁ νοῦς, τὸ πνεῦμά τινος, ἡ διάθεσις, Λατιν. animus, ἔστ' ἂν Διὸς φρ. λωφήσῃ χόλου Αἰσχύλ. Προμ. 376· Αἰσχύλου φρόνημ' ἔχων Τηλεκλείδης ἐν «Ἡιόσιν» 1· — ἡ ἔννοια τῆς λέξεως ταύτης πολλάκις δι' ἐπιθετικῶν προσδιορισμῶν περιηρίζεται πως, δύσθεον Αἰσχύλ. Χο. 191 ὑπέρτολμον αὐτόθι 595· ὠμὸν ὁ αὐτ. ἐπὶ Θήβ. 519· ἐλεύθερον Πλάτ. Νόμ. 865D· τυραννικὸν ὁ αὐτ ἐν Πολ. 573Β, Ξεν. Λακ. Πολ. 15. 8.

2) διανόημα, σκέψις, σκοπός, ἐπιθυμία, θέλησις, φθέγμα καὶ ἀνεμόεν φρ Σοφ. Ἀντιγ 354, πρβλ. 176, 207· συχνάκις ἐν τῷ πληθ., καρτεροῖς φρ. Αἰσχύλ. Προμ. 207· Ζεὺς τοι κολαστὴς τῶν ὑπερκόπων ἄγαν φρ. ὁ αὐτ. ἐν Πέρσ. 827· ματαίων .. φρονημάτων ἡ γλῶσσ' ἀληθὴς γίγνεται κατήγορος ὁ αὐτ. ἐπὶ Θήβ 438· ἐμπέδοις φρ. Σοφ. Ἀντ. 169· τὰ σκληρ' ἄγαν φρ. αὐτόθι 473· τῶν φρ. ὁ Ζεὺς κολαστὴς τῶν ἄγαν ὑπερφρόνων Εὐριπ. Ἡρακλ 388· φρ. μεγάλα Πλάτ. Συμπ. 190Β, πρβλ. Κριτίαν 120Ε. **II** ἐπὶ καλῆς ἢ ἐπὶ κακῆς σημασίας,

1) ὑψηλὸν καὶ εὐγενὲς φρόνημα, μεγαλοφροσύνη, ἀποφασιστικὸς χαρακτήρ, θάρρος μετὰ ὑπερηφανίας, τῶν Ἀθηναίων τὸ φρ. Ἡρόδ. 8. 144, πρβλ. 9. 7, 2· φρονήματος πλέως ὁ μῦθός ἐστιν Αἰσχύλ. Πρ. 953· ἀνδρί γε φρ. ἐχοντι Θουκ 2 43 φρ. καὶ πίστις Ἀριστ. Πολιτικ. 3. 11, 5· βουλοῦν τὸ φρ. Θουκ. 2. 61 (πρβλ. **καταφρόνημα**)· μετὰ μέλλ. ἀπαρ., ἐν φρονήματι ὄντες τῆς Πελοποννήσου ἡγήσεσθαι, ἔχοντες τὴν φιλοτιμίαν καὶ φιλοδοξίαν νὰ γίνωσιν ἡγεμόνες τῆς Π., ὁ αὐτ. 5. 40·— συχν. ἐν τῷ πληθ., ὑψηλαὶ σκέψεις, σχέδια μεγάλα, καὶ περιληπτικῶς, θάρρος, ὑπερηφανία, πεποίθησις, διασείειν τὰ Ἀθηναίων φρον. Ἡρόδ. 6. 109, πρβλ. 3. 122, 125, 9. 54· οὐ .. ξυμφέρει τοῖς ἄρχουσι φρ. μεγάλα ἐγγίγνεσθαι τῶν ἀρχομένων Πλάτ. Συμπ 182C, πρβλ. 190Β, Ἰσοκρ. 134D. **2)** ἐπὶ κακῆς σημασίας, κόμπος, ἀλαζονεία, τῦφος, Αἰσχύλ. Πρ. 955, Εὐρ. Ἡρακλ. 926, Ἀριστοφ. Σφ. 1024, Εἰρ. 35, Πλάτ., κλπ. καὶ ἐν τῷ πληθ., Ἰσοκρ. 303D, Πολύβ., κλπ. **III.** ὁ πληθ. εἶναι ἐν χρήσει παρ' Αἰσχύλ. ὡς συνώνυμον τῷ **φρένες**, ἡ καρδία, τὸ στῆθος, ἴδε ἐκ φρονημάτων .. πεσών Εὐμενίδ 478.

φρονημᾰτίας, ου, ὁ, ὁ ἔχων ὑψηλὸν φρόνημα, ὁ ἐχων πεποίθησιν εἰς ἑαυτόν, μεγαλόφρων, ὑπερήφανος, ἢ (ἐπὶ κακῆς σημασίας) ὑψηλόφρων, ἀλαζών, τετυφωμένος, Ἀριστ. Πολιτ. 5. 11, 5, Ἀναγίν. 9, 4· φρ. ἐπὶ τῇ Ἱππικῇ Ξεν. Ἀγησ. 1, 24· ἐπὶ ἵππου, Πολυβ. Α', 194.

φρονημᾰτιάω, εἶμαι **φρονηματίας**, μὴ τις ἐμὲ οἰήσαιτο φρονηματιῶντα καὶ τολμητίαν εἶναι Τζέτζ. Ἐξήγ. Ὁ. σελ. 21, 23.

φρονημᾰτίζομαι, Παθ., γίνομαι φρονηματίας, ὑψηλόφρων ἢ ἀλαζών, Ἀριστ. Πολιτ. 2. 12, 5· φρονηματισθέντες ἐκ τῶν ἔργων αὐτόθι 8. 6, 11· πεφρονηματισμένοι διά τι αὐτόθι 3, 13, 19., 5. 7, 2· ἐπί τινι Πολύβ. 22. 8, 8, Διόδ.· φρον., ὅτι.., φρονῶ, νομίζω, φαντάζομαι ὅτι.., Σχόλ. εἰς Θεόκρ. 14. 48.

φρονημᾰτισμός, ὁ, ἔπαρσις, τῦφος, ἀλαζονεία Πολύβ. Ἑλλ. Ἀποσπ. 136, Θεμίστ. 251Β.

φρονημᾰτώδης, ες, (εἶδος) = **φρονηματίας**, Φιλόστρατ. 53ο, 683, κλπ.

φρόνησις, εως, ἡ, τὸ διανοεῖσθαι πρᾶξαί τι, πρόθεσις, σκοπός, σκέψις, φρόνησιν εἰ τάνδ' ἔχω Σοφ. Ο. Τ. 604· χοὔτος τάχ' ἂν φρόνησιν ἐν τούτῳ λάβοι λίψω τιν' ἡμῖν, καὶ οὕτως ἴσως ἐν τῷ μεταξὺ ἔλθῃ εἰς καλλιτέραν σκέψιν περὶ ἡμῶν, ὁ αὐτ. ἐν Φιλ. 1078 **2)** αἴσθησις περί τινος, εἴ τις ἄρα τοῖς ἐκεῖ φρ. περὶ τῶν ἐνθάδε γιγνομένων Ἰσοκρ. 308Β. **3)** ἀλαζονεία, ὑπερηφανία, Εὐρ. Ἱκέτ. 162· ἀλλὰ καὶ ἐπὶ καλῆς σημασίας, τὸ φῦναι πατρὸς εὐγενοῦς ἀπὸ βοὴν ἔχει φρόνησιν, αἴνιγμα φρόνημα, δικαίαν ὑπερηφάνειαν, ὁ αὐτ. ἐν Ἀποσπ. 739. **II.** ὡς καὶ νῦν, σύνεσις, **φρονιμάδαι**, αὕτη δὲ εἶναι ἡ ἀρετὴ ἡ ἀναγκαία ἐν τῇ κυβερνήσει τῶν ἀνθρώπων καὶ τῇ διοικήσει τῶν πραγ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μάτων, φρόνησίν τε καὶ ἄλλην ἀρετὴν Πλάτ. Συμπ. 209A λείπεται ἄρα αὐτὴν (δηλ. τὴν φρόνησιν) εἶναι ἕξιν ἀληθῆ μετὰ λόγου πρακτικὴν περὶ τὰ ἀνθρώπῳ ἀγαθὰ καὶ κακά Ἀριστ. Ἠθικ. Νικ. 6. 5 καὶ 8 κἑξ., Ἰσοκρ. 275D, 278B, Πλούτ. 2. 97E, κλπ.· ἐν ἀντιθέσει πρὸς τὸ ἀμαθία Πλάτ. Συμπ. 202A· πρὸς τὸ **σῶμα**, ὁ αὐτ. ἐν Πολ. 461A· πρὸς τὸ **ῥώμη**, Ἰσοκρ. 3G· τὴν φρόν. ἀσκεῖν Ξεν. Ἀπομν. 1. 2, 10, Ἰσοκρ., κλπ.· ἐν τῷ πλήθ., Πλάτ. Φίληβ 63A, Νόμ. 665D **2)** ἀποδίδοται καὶ εἰς τὰ εὐφυΐαν τινὰ δεικνύοντα ζῷα, Ἀριστ. π. Ζ. Γεν. 3. 2, 15, πρβλ. περὶ τὰ Ζ. Ἱστ. 9. 1, 1, καὶ ἴδε **φρόνεμος** II. 3.—Ἐν τοῖς Ὅροις τοῦ Πλάτ. 411D ἡ φρόνησις ὁρίζεται: «δύναμις ποιητικὴ καθ' αὑτὴν τῆς ἀνθρωπίνης εὐδαιμονίας· ἐπιστήμη ἀγαθῶν καὶ κακῶν· ἐπιστήμη ποιητικὴ εὐδαιμονίας· διάθεσις, καθ' ἣν κρίνομεν, τί πρακτέον καὶ τί οὔ πρακτέον».

φρονητέον, ῥηματ. ἐπίθ. τοῦ **φρονῶ**, δεῖ φρονεῖν, μέγα φρ. ἐπί τινι, πρέπει τις νὰ μεγαλοφρονῇ ἐπί τινι, Ξεν. Ἑλλ. 2. 4, 40· οὕτω, μεῖζον φρον. ὁ αὐτ. ἐν Ἀγησ. 8, 4· μεῖον ὁ αὐτὸς ἐν Ἀπολ. 26.

φρονῑμεύομαι, μεταγεν. τύπος τοῦ **φρονέω**, ἀποθ., γίνομαι φρόνιμος, συνετός, Λοβέκ. εἰς Φρύν. 386 —ἐνταῦθεν **φρονῑμευμα**, τὸ, φρόνιμος διαγωγή, Στοβ. Ἐκλογ. 2. 194· καὶ **φρονῑμευσις**, ἡ, Σχόλ. εἰς Δουκ. Δὶς Κατηγ. 21.

φρόνῑμος, **ον**, καὶ **η**, **ον**, Πλούτ. 2, 1070B —ὁ ἔχων σώας τὰς φρένας, ἔμφρων, Σοφ. Ἀλ. 259. **II**. ἀτάραχος, Ξεν. Κύρ. 5. 2. 17· τὸ φρόνιμον, ἑτοιμότης πνεύματος, ὁ αὐτ. ἐν Ἑλλ. 2. 3, 56. **III**, ὡς καὶ νῦν, φρόνιμος, σώφρων, συνετός, Λατ. prudens, Πλάτ. καὶ Ἀριστοτέλ., πρβλ. **φρόνησις** II· ἀντίθετον τῷ **ἄφρων**, Πλάτ. Σοφ. 247A, κλπ.· τῷ **ἀνόητος**, Ἰσοκρ. 17D· τὸν φρόνιμον ζητοῦντας . . ὥσπερ ἀποδεδρακότα βάτων παρ' Ἀθην. 163B· φρ. περί τινος, ὁ ἔχων φρόνησιν ἢ ὁ δεικνύων σύνεσιν εἴς τε πρᾶγμα, Ξεν. Κύρ. 1. 6, 15, καὶ 21 κἑξ.· περί τι Πλάτ. Γοργ. 490B, Ἰσοκρ. 266E· εἴς τι Πλάτ. Ἀλκιβ. 1. 125A· ἔν τινι Ξεν. Ἀνάβ. 2. 6, 7, κλπ.· ἐπὶ τῷ σίτῳ φρ. καὶ μέτριος ὁ αὐτ. ἐν Κύρ. 5. 2, 17. **2)** ἐπὶ σκέψεων, πράξεων καὶ τῶν τοιούτων, φρόν. τι ἐργάζεσθαι Ἀριστοφ Λυσ. 42· φιλόπολις ἀρετή, φρόνιμος αὐτόθι 548. **3)** λέγεται καὶ ἐπὶ πτηνῶν ὡς προμηνύοντων τὰ μέλλοντα, τοὺς ἀνωθεν φρονιμωτάτους οἰωνοὺς Σοφ. Ἠλ. 1059, πρβλ. Πλάτ. Πολιτικ. 263D· καὶ ἐπὶ ζώων ἅτινα δεικνύουσιν εὐφυΐαν τινά, Ἀριστ. περὶ τὰ Ζ. Ἱστ. 1. 1, 32, περὶ Ζ. Μορ. 2. 2, 6., 4. 10, 19, περὶ Ζ. Γεν. 3. 2, 14, κ. ἀλλ.· πρβλ. **φρόνησις** II. 2. **4)** τὸ φρόνιμον, πρακτικὴ σοφία, σύνεσις, «φρονιμάδα». Εὐρ. Ἀποσπ. 53. 9, Πλάτ. Πολ. 586D, κ. ἀλλ.· ἐν ἀντιθέσει πρὸς τὸ ἄφρον, ὁ αὐτ. ἐν Φαίδρῳ 236A· ἐπὶ τὸ φρονιμώτερον ἰέναι Ξεν. Συμπ. 8, 14· καὶ ἐν τῷ πλήθ., ἀπορος ἐπὶ φρόνιμα Σοφ. Ο. Τ. 692· 692 φρονιμώτατα λέγειν Ξεν. Ἀπολ. 20· τὰ φρονιμώτατα ποιεῖν Ἰσοκρ. περὶ Ἀντιδ. § 226. **5)** Ἐπίρρ. **-μως**, Ἀριστοφ. Ἱππ. 1364, Ὄρν. 1333, Πλάτ., κλπ.· ἀντίθετον τῷ **ἀλόγως**, Ἰσοκρ. 28B· φρ. ἔχειν Ξεν. Κύρ 3. 3, 57· διακεῖσθαι Ἰσοκρ 182C. Συγκρ. **φρονιμώτερον** ὁ αὐτ. 16E, κλπ. **-ωτέρως**, ὁ αὐτ. 294B.

φρονιμότης, **ητος**, ἡ, **φρόνησις** II, Γαλην. τόμ. 19, σ. 481, 16, Ἐπιφάν. τ. 1, σ. 215, Γρηγ. Νύσσ. Ἀντιρρ. κ. Ἀπολλ. 7, σ. 140.

φρονῑμῶδης, ες. πλημμ. γραφὴ ἀντὶ **φρονημᾰτώδης**, ἴδιόν τινος τῶν Ἀντιγράφων τοῦ Φιλοστρ. 705.

φρόνῐς, **εως**, ἡ, (**φρήν**· **φρονέω**), φρόνησις, σύνεσις, περιοιδὲ δίκας ἠδὲ φρόνιν ἄλλων, [ὁ Νέστωρ] γινώσκει καὶ ὧς νὰ συνηθείας καὶ τὴν φρόνησιν τῶν ἄλλων ἀνθρώπων, Ὀδ. Γ. 244· κατὰ δὲ φρόνιν ἦγαγε πολλήν, «κατήγαγεν εἰς τοὺς Ἕλληνας φρόνιν, ὅ ἐστι φρόνησιν πολλήν, συνετώτατος δόξας» (Εὐστ.), Δ. 358, πρβλ. Ὀππ Ἀλ. 1. 653, Ἀνακρ. 1456.

φρόνος, τό, ὁ Ἀχιλλεὺς ὁ θαυμαστός, τὸ φρόνος τῶν Ἑλλήνων, δηλ. ὁ ἐφ' ᾧ μέγα φρονοῦσιν οἱ Ἕλληνες, Διήγ. Ἀχιλ. σ. 1264, Ἐκδ. Wr. Παρὰ δὲ Μαυροφρύδῃ, Πολεμ. Τρωαδ. στ. 20 εὑρηται, ὡς φαίνεται, καὶ ὁ πληθυντικὸς ἐν τοῖς· ἀπὸ μεγάλα φρόνα = φρονήματα. Συναγ. Λέξ. Ἀθηνᾶ. Κουμανούδη.

φρονοῦντως, ἐπίρρ. μετοχ. ἐνεργ. ἐνεστ. τοῦ **φρονέω**, φρονίμως, συνετῶς, Αἰσχύλ. Ἱκ. 204, Σοφ. Ἀντιγ. 682.

φροντῐδο-κοπέομαι, παθ., εἶμαι πλήρης φροντίδων, βασανίζομαι ὑπὸ φροντίδων, ὑπέρ τινος Νικήτ. Χρον. 214D.

φροντίζω· μέλλ. Ἀττ. **ιῶ** Εὐρ. Τρῳ. 1234, Ἀριστοφ. Νεφ. 125, Ξεν., κλπ.· ἀόρ. **ἐφρόντισα** καὶ πρκμ. **πεφρόντικα**, Εὐρ., Ξεν., κλπ. Μέσ., μέλλ. **φροντιοῦμαι**, Εὐρ., Ἰφ. ἐν Ταύρ. 343, διορθωτέον εἰς **-οῦμεν** ὑπὸ τοῦ Badham. — Παθ, ἴδε κάτωτ. III (φροντίς) **I**, ἀπολ., ὡς καὶ νῦν, σκέπτομαι, συλλογίζομαι, μελετῶ, μεριμνῶ περί τινος, ἔχω φροντίδας ἢ σκέψεις, σχεδὸν ὡς τὸ Λατ. secum reputare, Θέογν. 908, Ἡρόδ. 5. 24, Αἰσχύλ. Πρ. 1034, Ἱκ. 419· περὶ τοῦ Σωκράτους, Ἀριστοφ. Νεφ. 76, 700, 735· οὕτω παρὰ Πλάτωνι, κλπ. **2)** εἶμαι πλήρης φροντίδων ἢ ἀνησυχίας, τί πεφροντικὸς βλέπεις; Εὐρ. Ἀλκ. 773· τίς δ' ἐστὶν ὁ μετὰ ταῦτα φροντίζων; Φρύνιχ. Κωμικ. ἐν «Μονοτρόπῳ» 3· τὸ πεφροντικός, ὡς οὐσιαστ., φροντίς, σκέψις, Πλούτ. 2. 983 B —ἡ λέξις αὕτη ἰδίως λέγεται ἐπὶ τῆς ἔντεχνα τῶν σκέψεων καταβεβλημένης καὶ σκυθρωπῆς ὄψεως τῶν εἰς μελέτας φιλοσοφικὰς ἀσχολουμένων, πρβλ. **φροντίς** I. 2, **φροντιστής**, **-τήριον**.

II μετὰ ἀντικειμ. **1)** μετ' αἰτ. πράγμ., σκέπτομαι περί τινος, ἐξετάζω, κρίνω καὶ σταθμίζω τι, ἐπινοῶ, μηχανῶμαι, Θέογν. 1247, Ἡρόδ. 5 67., 7. 16· φρ. τί ποτε τοῦτ' ἔστι Ξεν Κύρου Παιδ. 3. 3, 32· ὡσαύτως ἐπομένης ἐξηρτημένης προτάσεως, ὅτε τὸ ῥῆμα τίθεται κατὰ μέλλοντα χρόνον, φ. τοῦτο, ὅκως μὴ λήψομαι Ἡρόδ. 7. 8· ἐκεῖνο δ' οὐ πεφροντίκαμεν, ὅτῳ τρόπῳ . . μνημονεύσομεν Ἀριστοφ. Ἐκκλ. 263· καὶ ἄνευ τινὸς αἰτιατικῆς, φρ. πρὸς ἑωυτόν ὡς δώσει Ἡρόδ. 8. 100· φρ. ὅπως . . , σκέπτομαι ἢ ἐξετάζω πῶς πρέπει νὰ γείνῃ τι, Πλάτ. Ἀπολ. 29 E, Ξεν., κλπ., ἀλλὰ φρ. ὅτι βούλεται ἑαυτὸν καλεῖν Δημ. 99. 5· (μεταγεν. ὡσαύτως, φρ ἵνα., Πολύβ. 2. 8, 8)· ἐπομένου μὴ μεθ' ὑποτ., φρ. μὴ κράτιστον ᾖ Ξεν. Ἀπομν. 4, 2, 39, πρβλ. Ἡρωνα 7, 10 (ἔνθα ἐν τῷ κειμένῳ φέρεται τὸ μέλ.)· οὐδὲν φρ. εἰ . . Πλάτ. Γοργ. 502 E· εἴτε . . εἴτε . . ὁ αὐτ. ἐν Πολ. 344. E· ὡσαύτως μετ' ἀναφορικοῦ, Εὐρ. Ἱππόλυτ. 376, Ξεν. Ἀπομν. 3. 7, 6, κλπ.· μετ' ἀπαρ., Πλουτ. Φάβ. 12, κλπ.

2) μετὰ γεν., σκέπτομαι περί τινος, προσέχω εἴς τι, σκέπτομαί τε, φροντίζω περί τινος, «δίδω προσοχήν» εἴς τι, ὡς ἐπὶ τὸ πλεῖστον μετ' ἀρνήσεως Περσέων οὐδὲν φρ. Ἡρόδ. 3. 97, πρβλ. 100, 151., 4. 167· γῆ αὐχμοῦ φροντίζουσα οὐδὲν ὁ αὐτ. 4. 198· Πενθέως οὐ φροντίσας Εὐρ. Βάκχ. 637· μηδὲν ὅρκου φροντίσῃς Ἀριστοφ. Λυσ. 915· τῶν οἰκετῶν . . μηδὲν φρ. Λυσίας 109. 39 μηδενὸς ἄλλου φρ. πλὴν ὅπως . . Ἰσοκρ. περὶ Ἀντιδ. § 325· οὐδὲ τῶν νόμων φροντίζουσι Πλάτ. Πολ. 563D· μηδὲν φρ. τῶν θεῶν ὁ αὐτ. ἐν Νόμ. 701C· καὶ πάνυ παλιν, οἱ θεοὶ τῶν ἀνθρωπίνων οὐδὲν φροντίζουσι αὐτόθι 888C· οὕτω μετ' ἐπιρρ. ἐχόντων ἀρνητικὴν ἔννοιαν, σμικρὰ φρ. τινὸς Εὐρ. Ὀρ 799· ὀλίγον ὁ αὐτ. ἐν Κύκλ. 163· σμικρὸν φρ. Σωκράτους Πλάτ. Φαίδων 91C· ἀλλὰ καὶ ἄνευ ἀρνητικοῦ, σπερ δεῖ μάλιστα φροντίσαι Εὐρ. Βάκχ. 242· τοῦ μὲν ἀνάξιατος φρ., τοῦ δὲ πράγματος ἀμελεῖν Ἀνδοκ. 32. 28· σφόδρα φρ. τινὸς Ξεν. Ἀπομν. 3. 11, 10· — οὕτω καὶ μετὰ προθέσεως, φρ. περί τινος. εἶμαι ἀνήσυχος περί τινος, «ἐνδιαφέρομαι», Ἡρόδ. 8. 36, Ξεν. Ἀπομν. 1. 1, 12, κλπ., πρβλ. Εὐρ. Ἱππόλ. 7. 9· ὑπέρ τινος Πλάτ. Εὐθύφρων 4D, Δημ. 9 14, κλπ. **β)** σπανίως ἐπὶ ταύτης τῆς ἐννοίας μετ' αἰτ., [Σωκράτης] τἄλλα μὲν πεφροντικεν Εὔπολις ἐν Ἀδῇ, 10· ἄλλο δὲ οὐδὲν φροντίζειν Πλάτ. Γοργ. 501E· ἀλλ' οὐδὲ τὰ βίου . . δεῖ φροντίσαι Μένανδρ. ἐν «Μισογύνῃ» 10· πρβλ. Πρισκιαν. 18 σ. 1213· διαφέρουσι παραδείγματα οἷα τάδε, ἡ δ' ἐφρόντισ' οὐδὲ ἓν Κρατῖνος ἐν Ἀδῇ. 23· μηδὲν φροντίσας Φερεκράτης ἐν «Κραπατάλλοις» 1. **3)** ἐνίοτε παραλείπεται τὸ ἀντικείμενον ὡς συμπληρούμενον ἢ ἐννοούμενον, ἐφρόντιζε Ἰσοτρίων, δηλ. ἠώτα ἢ ἐξήταζεν ἐπιμελῶς, Ἡρόδ. 1. 56· ὡσαύτως, φροντίζων εὑρίσκω, σκεπτόμενος περὶ αὐτοῦ, ὁ αὐτ. 5. 24, πρβλ. Πλάτ. Συμπ. 220 C· δεινὰ . . τοῖς τεκοῦσι φροντίσαι Αἰσχύλου Πέρσ. 245· οἳ τοὺς φίλους βλάπτοντες οὐ φροντίζετε, οἵτινες, ἵνῳ βλάπτετε τοὺς φίλους, διάλου δὲν σᾶς μέλει, Εὐρ. Ἑκάβη 256· φροντίζεθ' ὡς μαχούμενοι Σοφ. Ἠλ. 1370· μὴ φροντίσῃς, μὴ ἐῶσας προσοχὴν εἰς αὐτό, Ἀριστ. Σφ. 228· οὐ, μὰ Δί', οὐδ' ἐφρόντισα ὁ αὐτ. ἐν Βατρ. 494, πρβλ. 650, Πλ. 216, 704· — μετὰ μετοχ., [τοιαῦτα] γινόμενα . . ὁρῶντες οὐδὲν φροντίζετε Ἀνδοκ. 32. 15· οὕτω ἐν Ἀριστοφ. Ἱππ. 783, οὐ φραντίζει σκληρῶς σε καθήμενον οὕτως, ὁ Brunck συνεπλήρωσε διὰ τοῦ ὁρῶν. **III**, Παθ., εἶμαι ἀντικείμενον φροντίδος ἢ μερίμνης, φροντιζόμενος Ξεν. Ἱέρων 7, 10· πεφροντισμένος, ἐπιμελῶς ἐσκεμμένος, ἐπιμελῶς ἐξετασθείς, Λατ. exquisitus, λόγος Διόδ. 15. 78., 16 32, Φιλόστρ. 496· τρέφονται τροφῇ πεφροντισμένῃ Αἰλ. περὶ Ζώων 7. 9.

φροντίς, **ῖδος**, ἡ, (φρονέω) ὡς καὶ νῦν, φρονεῖς, μέριμνα περὶ προσώπου τινὸς ἢ πράγματος, μετὰ γεν., **φροντῖδ'** ἔχειν τινὸς Σιμωνίδ. 85. 10, Εὐρ. Μήδ. 1301· παλαισμάτων λάβας φροντῖδα, φρόντισον, σκέψαι περὶ αὐτῶν, Πινδ. Ν. 10, 40· ἐν φροντῖδι εἶναι περί τινος Ἡρόδ. 1. 111, πρβλ. 7. 205· ἐκείνοις οὐδὲ εἰς περὶ τούτου λόγος οὐδὲ φρ. Πλάτ. Φαίδων 101E· εἰσέρχεται αὐτῷ δέος καὶ φρ. ὁ αὐτ. ἐν Πολ. 330 D· φρ. ποιεῖσθαί τινος ἢ περί τινος Διόδ. 11. 28, 36., 15. 28· — ὡσαύτως ἐπομένης ἐξηρτημένης προτάσεως, ἐν φρ. εἶναι ὅ τι χρὴ ποιεῖν Ξεν. Ἑλλ. 6. 5, 33, πρβλ. Κύρου Παιδ. 5. 2, 5. **2)** ἀπολ., σκέψις, μέριμνα, μελέτη, τὰ δ' ἄλλα φροντῖς· θήσει δικαίως Αἰσχύλ. Ἀγ. 912· πολλὰς . . δόξας ἐλθόντα φροντῖδας πλάνοις Σοφ. ἐν Οἰδ. Τυρ. 67 (ὅπερ παρωδεῖ ὁ κωμ. Ἡνίοχος ἐν «Τροχίλῳ» 1. ἔχον.. πολλὰς φροντίδων διεξόδους)· ἐν φροντῖδι γίγνεσθαι, ἐπὶ προσώπου, Ξεν. Κύρου Παιδ. 6. 2, 12· ἀλλὰ, ἐν φροντῖδι μοι ἐγένετο [τὸ πρᾶγμα] Ἡρόδ. 2. 104· ἐμβῆσαί τινα ἐς φροντῖδα, ἐμβαλεῖν τινα εἰς σκέψεις, ὁ αὐτ. 1. 10· φροντῖδα θέσθαι Αἰσχύλ. Πέρσ. 142· δεῖ βαθείης φρ. σωτη-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

